41 Καὶ ἐνεκότει Ησαυ τῷ Ιακωβ περὶ τῆς εὐλογίας, ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ· εἶπεν δὲ Ησαυ ἐν τῇ διανοίᾳ Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ιακωβ τὸν ἀδελφόν μου.

٤٢فَأُخْبِرَتْ رِفْقَةُ بِكَلاَمِ عِيسُو ابْنِهَا الأَكْبَرِ، فَأَرْسَلَتْ وَدَعَتْ يَعْقُوبَ ابْنَهَا الأَصْغَرَ وَقَالَتْ لَهُ: «هُوَذَا عِيسُو أَخُوكَ يُهَدِّدُكَ بِأَنَّهُ سَيَقْتُلُكَ.

42 ἀπηγγέλη δὲ Ρεβεκκα τὰ ῥήματα Ησαυ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου, καὶ πέμψασα ἐκάλεσεν Ιακωβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον καὶ εἶπεν αὐτῷ Ἰδοὺ Ησαυ ὁ ἀδελφός σου ἀπειλεῖ σοι τοῦ ἀποκτεῖναί σε·

٤٣إِذاً فَالآنَ يَا وَلَدِي اسْمَعْ لِصَوْتِي وَقُمِ اهْرُبْ إِلَى مَا بَيْنَ النَّهْرَيْنِ إِلَى أَخِي لاَبَانَ فِي حَارَانَ

43 νῦν οὖν, τέκνον, ἄκουσόν μου τῆς φωνῆς καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν πρὸς Λαβαν τὸν ἀδελφόν μου εἰς Χαρραν

٤٤وَاسْكُنْ مَعَهُ عِدَّةَ أَيَّامٍ حَتَّى يَرْتَدَّ سَخَطُ

44 καὶ οἴκησον μετ᾽ αὐτοῦ ἡμέρας τινὰς ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν

٤٥وَغَضَبُ أَخِيكَ عَنْكَ، وَيَنْسَى مَا صَنَعْتَ بِهِ. ثُمَّ أُرْسِلُ أَسْتَدْعِيكَ مِنْ هُنَاكَ. لِئَلاَّ أُثْكَلَ اثْنَيْكُمَا فِي يَوْمٍ وَاحِدٍ».

45 καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ, καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μήποτε ἀτεκνωθῶ ἀπὸ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.

٤٦وَقَالَتْ رِفْقَةُ لإِسْحَاقَ: «كَرِهْتُ حَيَاتِي مِنْ أَجْلِ بَنَاتِ بَنِي حِثَّ. إِنْ كَانَ يَعْقُوبُ يَأْخُذُ زَوْجَةً مِنْ بَنَاتِ هَذِهِ الأَرْضِ فَلِمَاذَا لِي حَيَاةٌ؟»

46 Εἶπεν δὲ Ρεβεκκα πρὸς Ισαακ Προσώχθικα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν Χετ· εἰ λήμψεται Ιακωβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι ζῆν;

اَلأَصْحَاحُ الثَّامِنُ وَالْعِشْرُونَ

١فَدَعَا إِسْحَاقُ يَعْقُوبَ وَبَارَكَهُ وَأَوْصَاهُ قَائِلاً: «لاَ تَأْخُذْ زَوْجَةً مِنْ بَنَاتِ كَنْعَانَ.

1 προσκαλεσάμενος δὲ Ισαακ τὸν Ιακωβ εὐλόγησεν αὐτὸν καὶ ἐνετείλατο αὐτῷ λέγων Οὐ λήμψῃ γυναῖκα ἐκ τῶν θυγατέρων Χαναων·

٢قُمِ انْطَلِقْ إِلَى مَا بَيْنَ النَّهْرَيْنِ إِلَى بَيْتِ بَتُوئِيلَ أَبِي أُمِّكَ وَخُذْ لِنَفْسِكَ زَوْجَةً مِنْ

2 ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον Βαθουηλ τοῦ πατρὸς τῆς μητρός σου καὶ λαβὲ σεαυτῷ

هُنَاكَ مِنْ بَنَاتِ لاَبَانَ أَخِي أُمِّكَ.

ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λαβαν τοῦ ἀδελφοῦ τῆς μητρός σου.

٣وَإِلَهِي[٢٦٤] يُبَارِكُكَ وَيُنْمِيكَ وَيُكَثِّرُكَ، وَتَكُونُ جَمَاعَاتِ أُمَمٍ.

3 ὁ δὲ θεός μου εὐλογήσαι σε καὶ αὐξήσαι σε καὶ πληθύναι σε, καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν·

٤وَيُعْطِيكَ بَرَكَةَ إِبْرَاهِيمَ أَبِي، لَكَ وَلِنَسْلِكَ مِنْ بَعْدِكَ، لِتَرِثَ أَرْضَ غُرْبَتِكَ الَّتِي أَعْطَاهَا اللهُ لإِبْرَاهِيمَ».

4 καὶ δῴη σοι τὴν εὐλογίαν Αβρααμ τοῦ πατρός μου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ, κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ θεὸς τῷ Αβρααμ.

٥فَصَرَفَ إِسْحَاقُ يَعْقُوبَ، فَذَهَبَ إِلَى مَا بَيْنِ النَّهْرَينِ إِلَى لاَبَانَ بْنِ بَتُوئِيلَ السِّرْيَانِي أَخِي رِفْقَةَ أُمِّ يَعْقُوبَ وَعِيسُوَ.

5 καὶ ἀπέστειλεν Ισαακ τὸν Ιακωβ, καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν πρὸς Λαβαν τὸν υἱὸν Βαθουηλ τοῦ Σύρου ἀδελφὸν δὲ Ρεβεκκας τῆς μητρὸς Ιακωβ καὶ Ησαυ.

٦(فَلَمَّا) رَأَى عِيسُو أَنَّ إِسْحَاقَ بَارَكَ يَعْقُوبَ، وَأَنَّهُ مَضَى إِلَى مَا بَيْنَ النَّهْرَينِ

6 Εἶδεν δὲ Ησαυ ὅτι εὐλόγησεν Ισαακ τὸν Ιακωβ καὶ ἀπῴχετο εἰς τὴν Μεσοποταμίαν Συρίας λαβεῖν ἑαυτῷ ἐκεῖθεν γυναῖκα ἐν

[٢٦٤] تأتي في النص العبري: אֵל שַׁדַּי (إيل شداي) أي الله القدير، ويقابلها في اليوناني والقبطي: إلهي (على فم اسحق أو يعقوب) أو إلهك (على فم الله) انظر (تك ٢٨: ٣؛ ٣٥: ١١، ٤٣: ١٤؛ ٤٩: ٢٥).

τῷ εὐλογεῖν αὐτὸν καὶ ἐνετείλατο αὐτῷ λέγων Οὐ λήμψῃ γυναῖκα ἀπὸ τῶν θυγατέρων Χανααν,

السِّرْيَانِيَّةِ لِيَأْخُذَ لِنَفْسِهِ مِنْ هُنَاكَ زَوْجَةً، إِذْ بَارَكَهُ وَأَوْصَاهُ قَائِلاً: «لاَ تَأْخُذْ زَوْجَةً مِنْ بَنَاتِ كَنْعَانَ»،

7 καὶ ἤκουσεν Ιακωβ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν Συρίας,

٧وَأَنَّ يَعْقُوبَ سَمِعَ لأَبِيهِ وَأُمِّهِ وَذَهَبَ إِلَى مَا بَيْنِ النَّهْرَيْنِ السِّرْيَانِيَّةِ،

8 καὶ εἶδεν Ησαυ ὅτι πονηραί εἰσιν αἱ θυγατέρες Χανααν ἐναντίον Ισαακ τοῦ πατρὸς αὐτοῦ,

٨أَدْرَكَ عِيسُو أَنَّ بَنَاتِ كَنْعَانَ شِرِّيرَاتٌ أَمَامَ إِسْحَاقَ أَبِيهِ،

9 καὶ ἐπορεύθη Ησαυ πρὸς Ισμαηλ καὶ ἔλαβεν τὴν Μαελεθ θυγατέρα Ισμαηλ τοῦ υἱοῦ Αβρααμ ἀδελφὴν Ναβαιωθ πρὸς ταῖς γυναιξὶν αὐτοῦ γυναῖκα.

٩فَذَهَبَ عِيسُو إِلَى إِسْمَاعِيلَ وَأَخَذَ مَحْلَةَ بِنْتَ إِسْمَاعِيلَ بْنِ إِبْرَاهِيمَ أُخْتَ نَبَايُوتَ زَوْجَةً لَهُ عَلَى نِسَائِهِ.

10 Καὶ ἐξῆλθεν Ιακωβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρραν.

١٠فَخَرَجَ يَعْقُوبُ مِنْ بِئْرِ الْقَسَمِ وَذَهَبَ نَحْوَ حَارَانَ.

11 καὶ ἀπήντησεν τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου καὶ ἔθηκεν πρὸς κεφαλῆς αὐτοῦ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ.

١١وَصَادَفَ مَكَاناً وَرَقَدَ هُنَاكَ، لأَنَّ الشَّمْسَ كَانَتْ قَدْ غَابَتْ. وَأَخَذَ مِنْ حِجَارَةِ الْمَكَانِ وَوَضَعَهُ تَحْتَ رَأْسِهِ

وَرَقَدَ فِي ذَلِكَ الْمَكَانِ.

١٢وَرَأَى حُلْماً وَإِذَا سُلَّمٌ مُثَبَّتَةٌ فِي الأَرْضِ وَرَأْسُهَا يَبْلُغُ السَّمَاءَ، وَمَلاَئِكَةُ اللهِ صَاعِدَةٌ وَنَازِلَةٌ عَلَيْهَا،

12 καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς.

١٣وَالرَّبُّ ثَابِتٌ عَلَيْهَا، فَقَالَ: «أَنَا الرَّبُّ إِلَهُ إِبْرَاهِيمَ أَبِيكَ وَإِلَهُ إِسْحَاقَ. لاَ تَخَفْ[٢٦٥]. الأَرْضُ الَّتِي أَنْتَ رَاقِدٌ عَلَيْهَا أُعْطِيهَا لَكَ وَلِنَسْلِكَ.

13 ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς καὶ εἶπεν Ἐγὼ κύριος ὁ θεὸς Αβρααμ τοῦ πατρός σου καὶ ὁ θεὸς Ισαακ· μὴ φοβοῦ· ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου.

١٤وَيَكُونُ نَسْلُكَ كَرَمْلِ الأَرْضِ وَتَمْتَدُّ نَاحِيَةَ الْبَحْرِ وَجَنُوباً وَشِمَالاً وَشَرْقاً. وَيَتَبَارَكُ فِيكَ، وَفِي نَسْلِكَ، جَمِيعُ قَبَائِلِ الأَرْضِ.

14 καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ ἐπὶ λίβα καὶ ἐπὶ βορρᾶν καὶ ἐπ᾽ ἀνατολάς, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου.

١٥وَهَا أَنَا مَعَكَ وَأَحْفَظُكَ

15 καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ διαφυλάσσων

[٢٦٥] لا يأتي الأمر: لا تخف، في النص العبري، لكنه يرد في اليوناني والقبطي.

فِي كُلِّ الطَّرِيقِ حَيْثُمَا تَذْهَبُ وَأَرُدُّكَ إِلَى هَذِهِ الأَرْضِ، لأَنِّي لاَ أَتْرُكُكَ حَتَّى أَفْعَلَ كُلَّ مَا كَلَّمْتُكَ بِهِ».

σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με πάντα, ὅσα ἐλάλησά σοι.

١٦فَاسْتَيْقَظَ يَعْقُوبُ مِنْ نَوْمِهِ وَقَالَ: «إِنَّ الرَّبَّ فِي هَذَا الْمَكَانِ وَأَنَا لَمْ أَعْلَمْ!»

16 καὶ ἐξηγέρθη Ιακωβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν ὅτι Ἔστιν κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν.

١٧وَخَافَ وَقَالَ: «مَا أَرْهَبَ هَذَا الْمَكَانَ! مَا هَذَا إِلاَّ بَيْتُ اللهِ، وَهَذَا بَابُ السَّمَاءِ!»

17 καὶ ἐφοβήθη καὶ εἶπεν Ὡς φοβερὸς ὁ τόπος οὗτος· οὐκ ἔστιν τοῦτο ἀλλ᾽ ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

١٨وَقَامَ يَعْقُوبُ بَاكِراً وَأَخَذَ الْحَجَرَ الَّذِي وَضَعَهُ هُنَاكَ تَحْتَ رَأْسِهِ وَأَقَامَهُ عَمُوداً وَصَبَّ زَيْتاً عَلَى رَأْسِهِ،

18 καὶ ἀνέστη Ιακωβ τὸ πρωὶ καὶ ἔλαβεν τὸν λίθον, ὃν ὑπέθηκεν ἐκεῖ πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς.

١٩وَدَعَا يَعْقُوبُ اسْمَ ذَلِكَ الْمَكَانِ «بَيْتَ اللهِ». وَكَانَ اسْمُ الْمَدِينَةِ أَوَّلاً لُوزَ[٢٦٦].

19 καὶ ἐκάλεσεν Ιακωβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Οἶκος θεοῦ· καὶ Ουλαμλους ἦν ὄνομα τῇ πόλει τὸ πρότερον.

---

[٢٦٦] يأتي الاسم في العبري לוז (لوز)، أما في الترجمة اليونانية في ذلك الموضع فقط فيأتي: Ουλαμλους وكذلك في القبطي: **ⲟⲩⲗⲁⲙⲗⲟⲩⲥ**. لكنه يرد بعد ذلك λουζα (لوزا) انظر: (تك ٣٥: ٦؛ يش ١٦: ٢؛ ١٨: ١٣؛ قض ١: ٢٣، ٢٦).

٢٠وَصَلَّى يَعْقُوبُ صَلاَةً قَائِلاً: «إِنْ كَانَ الرَّبُّ الإِلَهُ مَعِي، وَحَفِظَنِي فِي هَذَا الطَّرِيقِ الَّذِي أَنَا سَائِرٌ فِيهِ، وَأَعْطَانِي خُبْزاً لآكُلَ وَثِيَاباً لأَلْبِسَ،	20 καὶ ηὔξατο Ιακωβ εὐχὴν λέγων Ἐὰν ᾖ κύριος ὁ θεὸς μετ᾽ ἐμοῦ καὶ διαφυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι, καὶ δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι
٢١وَرَدَّنِي سَالِماً[٢٦٧] إِلَى بَيْتِ أَبِي، يَكُونُ الرَّبُّ لِي إِلَهاً،	21 καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου, καὶ ἔσται μοι κύριος εἰς θεόν,
٢٢وَهَذَا الْحَجَرُ، الَّذِي أَقَمْتُهُ عَمُوداً، يَكُونُ لِي بَيْتَ اللهِ، وَكُلُّ مَا تُعْطِينِي فَإِنِّي أُعْطِيكَ عُشْرَهُ».	22 καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος θεοῦ, καὶ πάντων, ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι.

اَلأَصْحَاحُ التَّاسِعُ وَالْعِشْرُونَ

١ثُمَّ رَفَعَ يَعْقُوبُ رِجْلَيْهِ وَذَهَبَ إِلَى أَرْضِ الْمَشْرِقِ، إِلَى لاَبَانَ بْنِ بَتُوئِيلَ السِّرْيَانِي	1 Καὶ ἐξάρας Ιακωβ τοὺς πόδας ἐπορεύθη εἰς γῆν ἀνατολῶν πρὸς Λαβαν τὸν υἱὸν Βαθουηλ τοῦ Σύρου ἀδελφὸν δὲ

---

[٢٦٧] تأتي في العبري: בְּשָׁלוֹם (بشلوم) أي بسلام، وتأتي في اليوناني μετὰ σωτηρίας والقبطي ϩⲉⲛ ⲟⲩⲟⲩϫⲁⲓ بمعنى بخلاص أو بسلام أو بعافية، أو مع السلامة (انظر تك ٢٦: ٣١).

وَأَخِي رِفْقَةَ أُمِّ يَعْقُوبَ وَعِيسُو[٢٦٨].

Ρεβεκκας μητρὸς Ιακωβ καὶ Ησαυ.

٢وَنَظَرَ وَإِذَا فِي السَّهْلِ بِئْرٌ، وَكَانَ هُنَاكَ ثَلاَثَةُ قُطْعَانِ غَنَمٍ رَابِضَةً عِنْدَهَا، لأَنَّهُمْ كَانُوا مِنْ تِلْكَ الْبِئْرِ يَسْقُونَ الْقُطْعَانَ، وَكَانَ حَجَرٌ كَبِيرٌ عَلَى فَمِ الْبِئْرِ.

2 καὶ ὁρᾷ καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ, ἦσαν δὲ ἐκεῖ τρία ποίμνια προβάτων ἀναπαυόμενα ἐπ᾽ αὐτοῦ· ἐκ γὰρ τοῦ φρέατος ἐκείνου ἐπότιζον τὰ ποίμνια, λίθος δὲ ἦν μέγας ἐπὶ τῷ στόματι τοῦ φρέατος,

٣فَكَانَ يَجْتَمِعُ إِلَى هُنَاكَ جَمِيعُ الْقُطْعَانِ فَيُدَحْرِجُونَ الْحَجَرَ عَنْ فَمِ الْبِئْرِ وَيَسْقُونَ الْغَنَمَ ثُمَّ يَرُدُّونَ الْحَجَرَ عَلَى فَمِ الْبِئْرِ إِلَى مَكَانِه.

3 καὶ συνήγοντο ἐκεῖ πάντα τὰ ποίμνια καὶ ἀπεκύλιον τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος καὶ ἐπότιζον τὰ πρόβατα καὶ ἀπεκαθίστων τὸν λίθον ἐπὶ τὸ στόμα τοῦ φρέατος εἰς τὸν τόπον αὐτοῦ.

٤فَقَالَ لَهُمْ يَعْقُوبُ: «يَا إِخْوَةُ مِنْ أَيْنَ أَنْتُمْ؟» أَمَّا هُمْ فَقَالُوا: «نَحْنُ مِنْ حَارَانَ».

4 εἶπεν δὲ αὐτοῖς Ιακωβ Ἀδελφοί, πόθεν ἐστὲ ὑμεῖς; οἱ δὲ εἶπαν Ἐκ Χαρραν ἐσμέν.

٥فَقَالَ لَهُمْ: «هَلْ تَعْرِفُونَ لاَبَانَ ابْنَ نَاحُورَ؟» فَقَالُوا: «نَعْرِفُهُ».

5 εἶπεν δὲ αὐτοῖς Γινώσκετε Λαβαν τὸν υἱὸν Ναχωρ; οἱ δὲ εἶπαν Γινώσκομεν.

---

[٢٦٨] لا يأتي النصف الثاني من الآية في النص العبري، لكنه يأتي في الترجمة اليونانية والقبطية.

٦فَقَالَ لَهُمْ: «أَهُوَ بِخَيْرٍ؟[٢٦٩]» فَقَالُوا: «بِخَيْرٍ. وَهُوَذَا رَاحِيلُ ابْنَتُهُ آتِيَةٌ مَعَ الْغَنَمِ».	6 εἶπεν δὲ αὐτοῖς Ὑγιαίνει; οἱ δὲ εἶπαν Ὑγιαίνει. καὶ ἰδοὺ Ραχηλ ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων.
٧فَقَالَ يَعْقُوبُ: «النَّهَارُ طَوِيلٌ بَعْدُ. لَيْسَ وَقْتَ اجْتِمَاعِ الْمَوَاشِي. اسْقُوا الْغَنَمَ وَاذْهَبُوا ارْعُوا».	7 καὶ εἶπεν Ιακωβ Ἔτι ἐστὶν ἡμέρα πολλή, οὔπω ὥρα συναχθῆναι τὰ κτήνη· ποτίσαντες τὰ πρόβατα ἀπελθόντες βόσκετε.
٨أَمَّا هُمْ فَقَالُوا: «لاَ نَقْدِرُ حَتَّى يَجْتَمِعَ جَمِيعُ الرُّعَاةِ وَيُدَحْرِجُوا الْحَجَرَ عَنْ فَمِ الْبِئْرِ ثُمَّ نَسْقِي الْغَنَمَ».	8 οἱ δὲ εἶπαν Οὐ δυνησόμεθα ἕως τοῦ συναχθῆναι πάντας τοὺς ποιμένας καὶ ἀποκυλίσωσιν τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ποτιοῦμεν τὰ πρόβατα.
٩وَإِذْ هُوَ بَعْدُ يُكَلِّمُهُمْ أَتَتْ رَاحِيلُ ابْنَةُ لاَبَانَ مَعَ غَنَمِ أَبِيهَا، لأَنَّهَا كَانَتْ تَرْعَى غَنَمَ أَبِيهَا.	9 ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς καὶ Ραχηλ ἡ θυγάτηρ Λαβαν ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς· αὐτὴ γὰρ ἔβοσκεν τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς.
١٠فَكَانَ لَمَّا أَبْصَرَ يَعْقُوبُ رَاحِيلَ بِنْتَ لاَبَانَ أَخِي أُمِّهِ، وَغَنَمَ لاَبَانَ أَخِي أُمِّهِ، أَنَّ	10 ἐγένετο δὲ ὡς εἶδεν Ιακωβ τὴν Ραχηλ θυγατέρα Λαβαν ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ καὶ τὰ πρόβατα Λαβαν ἀδελφοῦ τῆς

[٢٦٩] تأتي في اليوناني ὑγιαίνει أهو بصحة جيدة؟ وتأتي في القبطي البحيري: أهو حيٌّ.

يَعْقُوبَ تَقَدَّمَ وَدَحْرَجَ الْحَجَرَ عَنْ فَمِ الْبِئْرِ، وَسَقَى غَنَمَ لاَبَانَ أَخِي أُمِّهِ.

μητρὸς αὐτοῦ, καὶ προσελθὼν Ιακωβ ἀπεκύλισεν τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος καὶ ἐπότισεν τὰ πρόβατα Λαβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ.

١١وَقَبَّلَ يَعْقُوبُ رَاحِيلَ وَرَفَعَ صَوْتَهُ وَبَكَى.

11 καὶ ἐφίλησεν Ιακωβ τὴν Ραχηλ καὶ βοήσας τῇ φωνῇ αὐτοῦ ἔκλαυσεν.

١٢وَأَخْبَرَ رَاحِيلَ أَنَّهُ أَخُو أَبِيهَا وَأَنَّهُ ابْنُ رِفْقَةَ. فَرَكَضَتْ وَأَخْبَرَتْ أَبَاهَا بِهذَا الْكَلاَمِ.

12 καὶ ἀνήγγειλεν τῇ Ραχηλ ὅτι ἀδελφὸς τοῦ πατρὸς αὐτῆς ἐστιν καὶ ὅτι υἱὸς Ρεβεκκας ἐστίν, καὶ δραμοῦσα ἀπήγγειλεν τῷ πατρὶ αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα.

١٣فَكَانَ حِينَ سَمِعَ لاَبَانُ اسْمَ يَعْقُوبَ ابْنِ أُخْتِهِ أَنَّهُ رَكَضَ لِلِقَائِهِ وَعَانَقَهُ وَقَبَّلَهُ وَأَدْخَلَهُ إِلَى بَيْتِهِ. فَأَخْبَرَ لاَبَانَ بِجَمِيعِ هذَا الْكَلاَمِ.

13 ἐγένετο δὲ ὡς ἤκουσεν Λαβαν τὸ ὄνομα Ιακωβ τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ, ἔδραμεν εἰς συνάντησιν αὐτῷ καὶ περιλαβὼν αὐτὸν ἐφίλησεν καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ. καὶ διηγήσατο τῷ Λαβαν πάντας τοὺς λόγους τούτους.

١٤فَقَالَ لَهُ لاَبَانُ: «إِنَّمَا أَنْتَ مِنْ عَظْمِي وَمِنْ لَحْمِي». فَكَانَ مَعَهُ شَهْرًا مِنَ الأَيَّامِ.

14 καὶ εἶπεν αὐτῷ Λαβαν Ἐκ τῶν ὀστῶν μου καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ἦν μετ᾽ αὐτοῦ μῆνα ἡμερῶν.

١٥ثُمَّ قَالَ لاَبَانُ لِيَعْقُوبَ:

15 Εἶπεν δὲ Λαβαν τῷ Ιακωβ Ὅτι γὰρ

«لأَنَّكَ أَخِي فَلَنْ تَخْدِمَنِي مَجَّانًا، أَخْبِرْنِي مَا هِيَ أُجْرَتُكَ».

ἀδελφός μου εἶ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σού ἐστιν.

١٦وَكَانَ لِلاَبَانَ ابْنَتَانِ، اسْمُ الْكُبْرَى لَيْئَةُ، وَاسْمُ الصُّغْرَى رَاحِيلُ.

16 τῷ δὲ Λαβαν δύο θυγατέρες, ὄνομα τῇ μείζονι Λεια, καὶ ὄνομα τῇ νεωτέρᾳ Ραχηλ·

١٧وَكَانَتْ عَيْنَا لَيْئَةَ ضَعِيفَتَيْنِ، وَأَمَّا رَاحِيلُ فَكَانَتْ حَسَنَةَ الصُّورَةِ وَجَمِيلَةَ الْمَنْظَرِ.

17 οἱ δὲ ὀφθαλμοὶ Λειας ἀσθενεῖς, Ραχηλ δὲ καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει.

١٨فَأَحَبَّ يَعْقُوبُ رَاحِيلَ وَقَالَ: «أَخْدِمُكَ سَبْعَ سِنِينٍ بِرَاحِيلَ ابْنَتِكَ الصُّغْرَى».

18 ἠγάπησεν δὲ Ιακωβ τὴν Ραχηλ καὶ εἶπεν Δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ραχηλ τῆς θυγατρός σου τῆς νεωτέρας.

١٩فَقَالَ لَهُ لاَبَانُ: «أَنْ أُعْطِيَكَ إِيَّاهَا أَحْسَنُ مِنْ أَنْ أُعْطِيَهَا لِرَجُلٍ آخَرَ. اسْكُنْ مَعِي».

19 εἶπεν δὲ αὐτῷ Λαβαν Βέλτιον δοῦναί με αὐτὴν σοὶ ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον μετ᾽ ἐμοῦ.

٢٠فَخَدَمَ يَعْقُوبُ بِرَاحِيلَ سَبْعَ سِنِينٍ، وَكَانَتْ أَمَامَهُ كَأَيَّامٍ قَلِيلَةٍ بِسَبَبِ مَحَبَّتِهِ لَهَا.

20 καὶ ἐδούλευσεν Ιακωβ περὶ Ραχηλ ἔτη ἑπτά, καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν.

٢١ثُمَّ قَالَ يَعْقُوبُ لِلاَبَانَ: «أَعْطِنِي امْرَأَتِي لأَنَّ أَيَّامِي قَدْ كَمُلَتْ فَأَدْخُلَ إِلَيْهَا».

21 εἶπεν δὲ Ιακωβ πρὸς Λαβαν Ἀπόδος τὴν γυναῖκά μου, πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν.

٢٢فَجَمَعَ لاَبَانُ جَمِيعَ رِجَالِ الْمَكَانِ وَصَنَعَ عُرْساً.

22 συνήγαγεν δὲ Λαβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου καὶ ἐποίησεν γάμον.

٢٣وَكَانَ فِي الْمَسَاءِ أَنَّ لاَبَانَ أَخَذَ لَيْئَةَ ابْنَتَهُ وَأَتَى بِهَا إِلَى يَعْقُوبَ، فَدَخَلَ يَعْقُوبُ إِلَيْهَا.

23 καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λαβαν Λειαν τὴν θυγατέρα αὐτοῦ εἰσήγαγεν αὐτὴν πρὸς Ιακωβ, καὶ εἰσῆλθεν πρὸς αὐτὴν Ιακωβ.

٢٤وَأَعْطَى لاَبَانُ زِلْفَةَ جَارِيَتَهُ لِلَيْئَةَ ابْنَتِهِ جَارِيَةً لَهَا.

24 ἔδωκεν δὲ Λαβαν Λεια τῇ θυγατρὶ αὐτοῦ Ζελφαν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην.

٢٥وَحَدَثَ فِي الصَّبَاحِ وَإِذَا هِيَ لَيْئَةُ. فَقَالَ يَعْقُوبُ لِلاَبَانَ: «مَا هَذَا الَّذِي صَنَعْتَ بِي! أَلَيْسَ بِرَاحِيلَ خَدَمْتُ عِنْدَكَ؟ فَلِمَاذَا خَدَعْتَنِي؟»

25 ἐγένετο δὲ πρωί, καὶ ἰδοὺ ἦν Λεια. εἶπεν δὲ Ιακωβ τῷ Λαβαν Τί τοῦτο ἐποίησάς μοι; οὐ περὶ Ραχηλ ἐδούλευσα παρὰ σοί; καὶ ἵνα τί παρελογίσω με;

٢٦فَقَالَ لاَبَانُ: «لاَ يَكُونُ هَكَذَا فِي مَكَانِنَا أَنْ تُعْطَى الصَّغِيرَةُ قَبْلَ الْكَبِيرَةِ.

26 εἶπεν δὲ Λαβαν Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέραν·

٢٧أَكْمِلْ إِذاً أُسْبُوعَ هَذِهِ فَأُعْطِيَكَ هَذِهِ أَيْضاً عِوَضاً عَنِ الْعَمَلِ الَّذِي تَعْمَلُهُ أَيْضاً عِنْدِي سَبْعَ سِنِينَ أُخَرَ».	27 συντέλεσον οὖν τὰ ἕβδομα ταύτης, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας, ἧς ἐργᾷ παρ᾽ ἐμοὶ ἔτι ἑπτὰ ἔτη ἕτερα.
٢٨فَفَعَلَ يَعْقُوبُ هَكَذَا. فَأَكْمَلَ أُسْبُوعَ هَذِهِ فَأَعْطَاهُ لاَبَانُ رَاحِيلَ ابْنَتَهُ زَوْجَةً لَهُ.	28 ἐποίησεν δὲ Ιακωβ οὕτως καὶ ἀνεπλήρωσεν τὰ ἕβδομα ταύτης, καὶ ἔδωκεν αὐτῷ Λαβαν Ραχηλ τὴν θυγατέρα αὐτοῦ αὐτῷ γυναῖκα.
٢٩وَأَعْطَى لاَبَانُ رَاحِيلَ ابْنَتَهُ بَلْهَةَ جَارِيَتَهُ جَارِيَةً لَهَا.	29 ἔδωκεν δὲ Λαβαν Ραχηλ τῇ θυγατρὶ αὐτοῦ Βαλλαν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην.
٣٠فَدَخَلَ إِلَى رَاحِيلَ، وَأَحَبَّ رَاحِيلَ أَكْثَرَ مِنْ لَيْئَةَ. وَخَدَمَهُ سَبْعَ سِنِينَ أُخَرَ.	30 καὶ εἰσῆλθεν πρὸς Ραχηλ· ἠγάπησεν δὲ Ραχηλ μᾶλλον ἢ Λειαν· καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα.
٣١وَرَأَى الرَّبُّ أَنَّ لَيْئَةَ مَكْرُوهَةٌ فَفَتَحَ رَحِمَهَا. وَأَمَّا رَاحِيلُ فَكَانَتْ عَاقِراً.	31 Ἰδὼν δὲ κύριος ὅτι μισεῖται Λεια, ἤνοιξεν τὴν μήτραν αὐτῆς· Ραχηλ δὲ ἦν στεῖρα.
٣٢فَحَبِلَتْ لَيْئَةُ وَوَلَدَت ابْناً لِيَعْقُوبَ، وَدَعَت اسْمَهُ	32 καὶ συνέλαβεν Λεια καὶ ἔτεκεν υἱὸν τῷ Ιακωβ· ἐκάλεσεν δὲ τὸ ὄνομα αὐτοῦ Ρουβην

رَأُوبَيْنَ[٢٧٠]» قَائِلَةً: «لأَنَّ الرَّبَّ قَدْ رَأَى مَذَلَّتِي. فَالآنَ يُحِبُّنِي رَجُلِي».

λέγουσα Διότι εἶδέν μου κύριος τὴν ταπείνωσιν· νῦν με ἀγαπήσει ὁ ἀνήρ μου.

٣٣وَحَبِلَتْ لَيْئَةُ أَيْضاً وَوَلَدَت ابْناً ثَانِياً لِيَعْقُوبَ وَقَالَتْ: «إِنَّ الرَّبَّ قَدْ سَمِعَ أَنِّي مَكْرُوهَةٌ فَأَعْطَانِي هَذَا أَيْضاً». فَدَعَت اسْمَهُ «شَمْعُونَ[٢٧١]».

33 καὶ συνέλαβεν πάλιν Λεια καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ιακωβ καὶ εἶπεν Ὅτι ἤκουσεν κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέν μοι καὶ τοῦτον· ἐκάλεσεν δὲ τὸ ὄνομα αὐτοῦ Συμεων.

٣٤وَحَبِلَتْ أَيْضاً وَوَلَدَت ابْناً وَقَالَت: «فِي الْوَقْت الْحَاضِرِ يَكُونُ رَجُلِي نَحْوِي، لأَنِّي وَلَدْتُ لَهُ ثَلاَثَةَ بَنِينَ». لِذَلِكَ دَعَت اسْمَهُ «لاَوِيَ[٢٧٢]».

34 καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱὸν καὶ εἶπεν Ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου, ἔτεκον γὰρ αὐτῷ τρεῖς υἱούς· διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Λευι.

٣٥وَحَبِلَتْ أَيْضاً وَوَلَدَت ابْناً وَقَالَتْ: «الآنَ أَيْضاً أَحْمَدُ الرَّبَّ عَلَى ذَلكَ». لِذَلِكَ

35 καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱὸν καὶ εἶπεν Νῦν ἔτι τοῦτο ἐξομολογήσομαι κυρίῳ· διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ

[٢٧٠] الاسم العبري רְאוּבֵן (راوبين) يعني: انظروا (رأوا) ابناً.

[٢٧١] الاسم العبري שִׁמְעוֹן (شمعون) يعني: سماعاً.

[٢٧٢] الاسم العبري לֵוִי (لاوي) يعني: اقتران أو التصاق.

دَعَت اسْمَهُ «يَهُوذَا[٢٧٣]». ثُمَّ تَوَقَّفَتْ عَنِ الْوِلاَدَةِ.

Ιουδα. καὶ ἔστη τοῦ τίκτειν.

اَلأَصْحَاحُ الثَّلاَثُونَ

[١]وَرَأَتْ رَاحِيلُ أَنَّهَا لَمْ تَلِدْ لِيَعْقُوبَ فَغَارَتْ رَاحِيلُ مِنْ أُخْتِهَا وَقَالَتْ لِيَعْقُوبَ: «هَبْ لِي بَنِينَ وَإِلاَّ فَأَنَا سَأَمُوتُ».

1 Ἰδοῦσα δὲ Ραχηλ ὅτι οὐ τέτοκεν τῷ Ιακωβ, καὶ ἐζήλωσεν Ραχηλ τὴν ἀδελφὴν αὐτῆς καὶ εἶπεν τῷ Ιακωβ Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ.

[٢]فَغَضِبَ يَعْقُوبُ عَلَى رَاحِيلَ وَقَالَ لَهَا: «أَلَعَلِّي أَنَا مَكَانَ اللهِ الَّذِي مَنَعَ عَنْكِ ثَمْرَةَ الْبَطْنِ؟»

2 ἐθυμώθη δὲ Ιακωβ τῇ Ραχηλ καὶ εἶπεν αὐτῇ Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέν σε καρπὸν κοιλίας;

[٣]فَقَالَتْ رَاحِيلُ لِيَعْقُوبَ: «هُوَذَا جَارِيَتِي بَلْهَةُ. ادْخُلْ إِلَيْهَا فَتَلِدَ عَلَى رُكْبَتَيَّ وَأُرْزَقُ أَنَا أَيْضاً مِنْهَا بَنِينَ».

3 εἶπεν δὲ Ραχηλ τῷ Ιακωβ Ἰδοὺ ἡ παιδίσκη μου Βαλλα· εἴσελθε πρὸς αὐτήν, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς.

[٤]فَأَعْطَتْهُ بَلْهَةَ جَارِيَتَهَا زَوْجَةً، فَدَخَلَ إِلَيْهَا يَعْقُوبُ

4 καὶ ἔδωκεν αὐτῷ Βαλλαν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα· εἰσῆλθεν

---

[٢٧٣] الاسم العبري יְהוּדָה (يهوذا) يعني: شكراً أو حمداً.

δὲ πρὸς αὐτὴν Ιακωβ.

5 καὶ συνέλαβεν Βαλλα ἡ παιδίσκη Ραχηλ καὶ ἔτεκεν τῷ Ιακωβ υἱόν.

6 καὶ εἶπεν Ραχηλ Ἔκρινέν μοι ὁ θεὸς καὶ ἐπήκουσεν τῆς φωνῆς μου καὶ ἔδωκέν μοι υἱόν· διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Δαν.

7 καὶ συνέλαβεν ἔτι Βαλλα ἡ παιδίσκη Ραχηλ καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ιακωβ.

8 καὶ εἶπεν Ραχηλ Συνελάβετό μοι ὁ θεός, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου καὶ ἠδυνάσθην· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Νεφθαλι.

9 Εἶδεν δὲ Λεια ὅτι ἔστη τοῦ τίκτειν, καὶ ἔλαβεν Ζελφαν τὴν παιδίσκην αὐτῆς καὶ ἔδωκεν αὐτὴν τῷ Ιακωβ γυναῖκα.

٥فَحَبِلَتْ بَلْهَةُ جَارِيَةُ رَاحِيلَ وَوَلَدَتْ لِيَعْقُوبَ ابْناً،

٦فَقَالَتْ رَاحِيلُ: «قَدْ حَكَمَ لِيَ اللهُ وَسَمِعَ لِصَوْتِي وَأَعْطَانِيَ ابْناً». لِذَلِكَ دَعَتِ اسْمَهُ «دَانَ[٢٧٤]».

٧وَحَبِلَتْ أَيْضاً بَلْهَةُ جَارِيَةُ رَاحِيلَ وَوَلَدَتِ ابْناً ثَانِياً لِيَعْقُوبَ،

٨فَقَالَتْ رَاحِيلُ: «قَدْ أَعَانَنِي اللهُ، وَجَارَيْتُ[٢٧٥] أُخْتِي وَقَوِيْتُ». فَدَعَتِ اسْمَهُ «نَفْتَالِي[٢٧٦]».

٩وَرَأَتْ لَيْئَةُ أَنَّهَا تَوَقَّفَتْ عَنِ الْوِلاَدَةِ، فَأَخَذَتْ زِلْفَةَ جَارِيَتَهَا وَأَعْطَتْهَا لِيَعْقُوبَ زَوْجَةً،

[٢٧٤] الاسم العبري דָּן (دان) يعنى: قاضي (ديان).

[٢٧٥] جاءت في العبري: وصارعتُ .

[٢٧٦] الاسم العبري נַפְתָּלִי (نفتالي) يعنى: مصارعتي.

١٠فَدَخَلَ إِلَيْهَا يَعْقُوبُ، فَحَبَلَتْ زِلْفَةُ جَارِيَةُ لَيْئَةَ وَوَلَدَتْ لِيَعْقُوبَ ابْناً.	10 εἰσῆλθεν δὲ πρὸς αὐτὴν Ιακωβ, καὶ συνέλαβεν Ζελφα ἡ παιδίσκη Λειας καὶ ἔτεκεν τῷ Ιακωβ υἱόν.
١١فَقَالَتْ لَيْئَةُ: «حَظّاً (سَعِيداً)». فَدَعَتِ اسْمَهُ «جَادَ[٢٧٧]».	11 καὶ εἶπεν Λεια Ἐν τύχῃ· καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Γαδ.
١٢وَحَبَلَتْ زِلْفَةُ جَارِيَةُ لَيْئَةَ وَوَلَدَتْ أَيْضاً ابْناً ثَانِياً لِيَعْقُوبَ	12 καὶ συνέλαβεν Ζελφα ἡ παιδίσκη Λειας καὶ ἔτεκεν ἔτι τῷ Ιακωβ υἱὸν δεύτερον.
١٣فَقَالَتْ لَيْئَةُ: «مُطَوَّبَةٌ أَنَا، لأَنَّ النِّسَاءَ تُطَوِّبُنِي». فَدَعَتِ اسْمَهُ «أَشِيرَ[٢٧٨]».	13 καὶ εἶπεν Λεια Μακαρία ἐγώ, ὅτι μακαρίζουσίν με αἱ γυναῖκες· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ασηρ.
١٤وَمَضَى رَأُوبَيْنُ فِي أَيَّامِ حَصَادِ الْحِنْطَةِ فَوَجَدَ ثَمَرَ اللُّفَّاحِ[٢٧٩] فِي الْحَقْلِ وَجَاءَ بِهِ إِلَى لَيْئَةَ أُمِّهِ. فَقَالَتْ رَاحِيلُ لِلَيْئَةَ: «أَعْطِينِي مِنْ لُفَّاحِ	14 Ἐπορεύθη δὲ Ρουβην ἐν ἡμέραις θερισμοῦ πυρῶν καὶ εὗρεν μῆλα μανδραγόρου ἐν τῷ ἀγρῷ καὶ ἤνεγκεν αὐτὰ πρὸς Λειαν τὴν μητέρα αὐτοῦ. εἶπεν δὲ Ραχηλ τῇ Λεια Δός μοι τῶν μανδραγορῶν

[٢٧٧] الاسم العبري גָּד (جاد) يعني: حظاً أو سعداً.

[٢٧٨] الاسم العبري אָשֵׁר (أشير) يعني: مُطَوَّباً أو سعيداً. وتضيف الترجمة القبطية البحيرية تفسيراً للاسم: أي الغنى ϫⲉ ⲟⲩⲙⲉⲧⲣⲁⲙⲁⲟ

[٢٧٩] الاسم العبري דּוּדָאִים (دوداييم) معناه لُفَّاح، وهو نبات عشبي معمر سام طبي، من الفصيلة الباذنجانية، ويسمى اليبروح، ينبت برياً في بعض أنحاء الشام (المعجم الوسيط)، ويقابله في اليوناني الاسم μανδραγόρας.

τοῦ υἱοῦ σου.

ابْنك».

15 εἶπεν δὲ Λεια Οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήμψῃ; εἶπεν δὲ Ραχηλ Οὐχ οὕτως· κοιμηθήτω μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου.

١٥فَقَالَتْ لَيْئَةُ: «أَمَا يَكْفِيكِ أَنَّكِ أَخَذْتِ رَجُلِي، أَفَتَأْخُذِينَ لُفَّاحَ ابْنِي أَيْضاً؟» فَقَالَتْ رَاحِيلُ: «لَيْسَ هَكَذَا، فَلْيَنَمْ مَعَكِ هَذِهِ اللَّيْلَةَ عِوَضاً عَنْ لُفَّاحِ ابْنِكِ».

16 εἰσῆλθεν δὲ Ιακωβ ἐξ ἀγροῦ ἑσπέρας, καὶ ἐξῆλθεν Λεια εἰς συνάντησιν αὐτῷ καὶ εἶπεν Πρός με εἰσελεύσῃ σήμερον· μεμίσθωμαι γάρ σε ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου. καὶ ἐκοιμήθη μετ᾽ αὐτῆς τὴν νύκτα ἐκείνην.

١٦وَأَتَى يَعْقُوبُ مِنَ الْحَقْلِ فِي الْمَسَاءِ، فَخَرَجَتْ لَيْئَةُ لِمُلاَقَاتِهِ وَقَالَتْ: «إِلَيَّ تَجِيءُ الْيَوْمَ، لأَنِّي قَدِ اسْتَأْجَرْتُكَ بِلُفَّاحِ ابْنِي». فَنَامَ مَعَهَا تِلْكَ اللَّيْلَةَ.

17 καὶ ἐπήκουσεν ὁ θεὸς Λειας, καὶ συλλαβοῦσα ἔτεκεν τῷ Ιακωβ υἱὸν πέμπτον.

١٧وَسَمِعَ اللهُ لِلَيْئَةَ، فَحَبِلَتْ وَوَلَدَتْ لِيَعْقُوبَ ابْناً خَامِساً.

18 καὶ εἶπεν Λεια Ἔδωκεν ὁ θεὸς τὸν μισθόν μου ἀνθ᾽ οὗ ἔδωκα τὴν παιδίσκην μου τῷ ἀνδρί μου· καὶ ἐκάλεσεν τὸ ὄνομα

١٨فَقَالَتْ لَيْئَةُ: «قَدْ أَعْطَانِي اللهُ أُجْرَتِي عِوَضَ مَا أَعْطَيْتُ جَارِيَتِي لِرَجُلِي».

وَدَعَت اسْمَهُ «يَسَّاكَرَ[٢٨٠]»، أَيْ أُجْرَةً[٢٨١].

αὐτοῦ Ισσαχαρ, ὅ ἐστιν Μισθός.

١٩وَحَبِلَتْ أَيْضاً لَيْئَةُ وَوَلَدَت ابْناً سَادِساً لِيَعْقُوبَ،

19 καὶ συνέλαβεν ἔτι Λεια καὶ ἔτεκεν υἱὸν ἕκτον τῷ Ιακωβ.

٢٠فَقَالَتْ لَيْئَةُ: «قَدْ وَهَبَنِي اللهُ هِبَةً حَسَنَةً. فِي الْزَّمَانِ الْحَاضِرِ يَخْتَارُنِي[٢٨٢] رَجُلِي، لأَنِّي وَلَدْتُ لَهُ سِتَّةَ بَنِينَ». فَدَعَت اسْمَهُ «زَبُولُونَ».

20 καὶ εἶπεν Λεια Δεδώρηταί μοι ὁ θεὸς δῶρον καλόν· ἐν τῷ νῦν καιρῷ αἱρετιεῖ με ὁ ἀνήρ μου, ἔτεκον γὰρ αὐτῷ υἱοὺς ἕξ· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ζαβουλων.

٢١وَبَعْدَ هَذَا وَلَدَت ابْنَةً وَدَعَت اسْمَهَا «دِينَةَ».

21 καὶ μετὰ τοῦτο ἔτεκεν θυγατέρα καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτῆς Δινα.

٢٢وَذَكَرَ اللهُ رَاحِيلَ وَسَمِعَ لَهَا اللهُ وَفَتَحَ رَحِمَهَا،

22 Ἐμνήσθη δὲ ὁ θεὸς τῆς Ραχηλ, καὶ ἐπήκουσεν αὐτῆς ὁ θεὸς καὶ ἀνέῳξεν αὐτῆς τὴν μήτραν,

٢٣فَحَبِلَتْ وَوَلَدَت ابْناً لِيَعْقُوبَ، فَقَالَتْ رَاحِيلُ: «قَدْ نَزَعَ اللهُ عَارِي»[٢٨٣].

23 καὶ συλλαβοῦσα ἔτεκεν τῷ Ιακωβ υἱόν. εἶπεν δὲ Ραχηλ Ἀφεῖλεν ὁ θεός μου τὸ ὄνειδος·

---

[٢٨٠] الاسم العبري יִשָּׂשכָר (يساكر) يعنى: يُستأجر.

[٢٨١] لا يأتي تفسير الاسم في العبري، لكنه يأتي في اليوناني والقبطي.

[٢٨٢] جاءت في العبري יִזְבְּלֵנִי (يزبلني) أي يكرمني، ومنها الاسم زبولون זְבֻלוּן والذي يعنى: تكريماً.

[٢٨٣] نفس الكلمات اليونانية استعملها القديس لوقا على لسان أليصابات عندما حبلت بيوحنا المعمدان (لو ١: ٢٥).

٢٤وَدَعَت اسْمَهُ «يُوسُفَ[٢٨٤]» قَائِلَةً: «يَزِيدُنِي اللهُ ابْناً آخَرَ».

24 καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ιωσηφ λέγουσα Προσθέτω ὁ θεός μοι υἱὸν ἕτερον.

٢٥وَحَدَثَ لَمَّا وَلَدَتْ رَاحِيلُ يُوسُفَ، أَنَّ يَعْقُوبَ قَالَ لِلاَبَانَ: «اصْرِفْنِي لأَذْهَبَ إِلَى مَكَانِي وَإِلَى أَرْضِي.

25 Ἐγένετο δὲ ὡς ἔτεκεν Ραχηλ τὸν Ιωσηφ, εἶπεν Ιακωβ τῷ Λαβαν Ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου.

٢٦رُدَّ لِي نِسَائِي وَأَوْلاَدِي الَّذِينَ خَدَمْتُكَ بِهِمْ لأَمْضِي، لأَنَّكَ أَنْتَ تَعْلَمُ خِدْمَتِي الَّتِي خَدَمْتُكَ[٢٨٥]».

26 ἀπόδος τὰς γυναῖκάς μου καὶ τὰ παιδία, περὶ ὧν δεδούλευκά σοι, ἵνα ἀπέλθω· σὺ γὰρ γινώσκεις τὴν δουλείαν, ἣν δεδούλευκά σοι.

٢٧فَقَالَ لَهُ لاَبَانُ: «إِنْ كُنْتُ قَدْ وَجَدْتُ نِعْمَةً أَمَامَكَ، قَدْ تَفَاءَلْتُ لأَنَّ اللهَ بَارَكَنِي بِمَجِيئِكَ،

27 εἶπεν δὲ αὐτῷ Λαβαν Εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν· εὐλόγησεν γάρ με ὁ θεὸς τῇ σῇ εἰσόδῳ.

٢٨فَعَيِّنْ لِي أُجْرَتَكَ فَأُعْطِيَكَ».

28 διάστειλον τὸν μισθόν σου πρός με, καὶ δώσω.

٢٩فَقَالَ لَهُ يَعْقُوبُ: «أَنْتَ

29 εἶπεν δὲ αὐτῷ Ιακωβ Σὺ γινώσκεις ἃ

---

٢٨٤ الاسم العبري יוֹסֵף (يوسف) يعني: يزيد أو يضيف.

٢٨٥ تضيف الترجمة القبطية البحيرية: «وكم كانت مواشيك معي» (انظر العدد ٢٩).

تَعْلَمُ مَاذَا خَدَمْتُكَ وَكَيْفَ كَانَتْ مَوَاشِيكَ مَعِي،

δεδούλευκά σοι καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ·

٣٠لأَنَّ مَا كَانَ لَكَ قَبْلِي كَانَ قَلِيلاً، وَقَد نَمَا إِلَى كَثِيرٍ، وَبَارَكَكَ الرَّبُّ فِي أَثَرِي[٢٨٦]. لِذَلِكَ الآنَ مَتَى أَصْنَعُ أَنَا أَيْضاً بَيْتاً لِنَفْسِي؟»

30 μικρὰ γὰρ ἦν ὅσα σοι ἦν ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος, καὶ ηὐλόγησέν σε κύριος ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;

٣١فَقَالَ لَهُ لاَبَانُ: «مَاذَا أُعْطِيكَ؟» فَقَالَ لَهُ يَعْقُوبُ: «لاَ تُعْطِنِي شَيْئاً، إِنْ صَنَعْتَ لِي هَذَا الأَمْرَ، أَعُودُ أَرْعَى غَنَمَكَ وَأَحْفَظُهَا،

31 καὶ εἶπεν αὐτῷ Λαβαν Τί σοι δώσω; εἶπεν δὲ αὐτῷ Ιακωβ Οὐ δώσεις μοι οὐθέν· ἐὰν ποιήσῃς μοι ˙τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου καὶ φυλάξω.

٣٢لِتَعْبُرْ غَنَمُكَ كُلُّهَا الْيَوْمَ (أَمَامَكَ)، وَاعْزِلْ أَنْتَ مِنْهَا كُلَّ خَرُوفٍ دَاكِنٍ بَيْنَ الضَّأْنِ وَكُلَّ بَلْقَاءَ[٢٨٧] وَرَقْطَاءَ[٢٨٨] بَيْنَ الْمَعْزِ. فَيَكُونَ (هَذَا) لِي أُجْرَةً.

32 παρελθάτω πάντα τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἀρνάσιν καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξίν· ἔσται μοι μισθός.

---

[٢٨٦] تأتي في العبري: לְרַגְלִי (لرجلي)، وفي اليوناني: ἐπὶ τῷ ποδί μου (على قدمي)، أي على أثر قدومي.

[٢٨٧] الأبلق والبلقاء: الدابة التي بها سواد وبياض.

[٢٨٨] الأرقط والرقطاء: من به أو بها رُقطة، والرقطة هي لون مؤلّف من نقط صغار من بياض وسواد.

33 καὶ ἐπακούσεταί μοι ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ αὔριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου· πᾶν, ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶν καὶ φαιὸν ἐν τοῖς ἀρνάσιν, κεκλεμμένον ἔσται παρ᾽ ἐμοί.

٣٣وَيُجِيبُ عَنِّي بِرِّي يَوْمَ غَدٍ، أَنَّ هٰذِهِ أُجْرَتِي قُدَّامَكَ، كُلُّ مَا لَيْسَ أَرْقَطَ أَوْ أَبْلَقَ بَيْنَ الْمَعْزِ وَدَاكِناً بَيْنَ الضَّأْنِ، يَكُونُ مَسْرُوقاً عِنْدِي».

34 εἶπεν δὲ αὐτῷ Λαβαν Ἔστω κατὰ τὸ ῥῆμά σου.

٣٤فَقَالَ لَهُ لاَبَانُ: «لِيَكُنْ بِحَسَبِ كَلِمَتِكَ».

35 καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ τοὺς διαλεύκους καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους καὶ πᾶν, ὃ ἦν λευκὸν ἐν αὐτοῖς, καὶ πᾶν, ὃ ἦν φαιὸν ἐν τοῖς ἀρνάσιν, καὶ ἔδωκεν διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ.

٣٥فَعَزَلَ فِي ذٰلِكَ الْيَوْمِ التُّيُوسَ الرُّقْطَاءَ وَالْبُلْقَاءَ، وَكُلَّ الْمَعْزِ الرُّقْطَاءِ وَالْبُلْقَاءِ وَكُلَّ مَنْ كَانَ أَبْيَضَ فِيهَا، وَكُلَّ مَنْ كَانَ دَاكِناً بَيْنَ الْخِرْفَانِ، وَأَعْطَاهَا بِيَدِ بَنِيهِ.

36 καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ιακωβ· Ιακωβ δὲ ἐποίμαινεν τὰ πρόβατα Λαβαν τὰ ὑπολειφθέντα.

٣٦وَجَعَلَ مَسِيرَةَ ثَلاَثَةِ أَيَّامٍ بَيْنَهُ وَبَيْنَ يَعْقُوبَ. وَكَانَ يَعْقُوبُ يَرْعَى غَنَمَ لاَبَانَ الْبَاقِيَةَ.

37 ἔλαβεν δὲ ἑαυτῷ Ιακωβ ῥάβδον στυρακίνην χλωρὰν καὶ καρυίνην καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς Ιακωβ

٣٧فَأَخَذَ يَعْقُوبُ لِنَفْسِهِ قُضْبَاناً خُضْراً مِنْ لُبْنَى وَلَوْزٍ وَدُلْبٍ، وَقَشَّرَ فِيهَا يَعْقُوبُ

قُشُوراً بَيْضَاءَ كَاشِطاً الأَخْضَرَ، فَظَهَرَ الأَبْيَضُ الَّذِي قَشَّرَهُ عَلَى الْقُضْبَانِ مُخَطَّطاً.

λεπίσματα λευκὰ περισύρων τὸ χλωρόν· ἐφαίνετο δὲ ἐπὶ ταῖς ῥάβδοις τὸ λευκόν, ὃ ἐλέπισεν, ποικίλον.

٣٨وَوَضَعَ الْقُضْبَانَ الَّتِي قَشَّرَهَا فِي أَحْوَاضِ مَسَاقِي الْمَاءِ، حَتَّى إِذَا جَاءَتِ الْغَنَمُ لِتَشْرَبَ أَمَامَ الْقُضْبَانِ، عِنْدَ مَجِيئِهَا لِتَشْرَبَ،

38 καὶ παρέθηκεν τὰς ῥάβδους, ἃς ἐλέπισεν, ἐν ταῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα, ὡς ἂν ἔλθωσιν τὰ πρόβατα πιεῖν ἐνώπιον τῶν ῥάβδων, ἐλθόν των αὐτῶν εἰς τὸ πιεῖν,

٣٩تَتَوَحَّمُ الْغَنَمُ عِنْدَ الْقُضْبَانِ، فَوَلَدَتِ الْغَنَمُ بُلْقاً وَمُخَطَّطَاتٍ وَرُقْطاً رَمَادِيَّةً.

39 ἐγκισσήσωσιν τὰ πρόβατα εἰς τὰς ῥάβδους· καὶ ἔτικτον τὰ πρόβατα διάλευκα καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά.

٤٠وَعَزَلَ يَعْقُوبُ الْحِمْلاَنَ، وَجَعَلَ أَمَامَ الْغَنَمِ كَبْشاً أَبْلَقَ وَكُلَّ مُخَطَّط بَيْنَ الْغَنَمِ. وَعَزَلَ لِنَفْسِهِ قُطْعَاناً وَحْدَهُ وَلَمْ يَخْلِطْهَا مَعَ غَنَمِ لاَبَانَ.

40 τοὺς δὲ ἀμνοὺς διέστειλεν Ιακωβ καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν διάλευκον καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς· καὶ διεχώρισεν ἑαυτῷ ποίμνια καθ᾽ ἑαυτὸν καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λαβαν.

٤١وَحَدَثَ فِي الْوَقْتِ الَّذِي تَوَحَّمَتْ فِيهِ الْغَنَمُ وَحَبَلَتْ، أَنَّ يَعْقُوبَ وَضَعَ

41 ἐγένετο δὲ ἐν τῷ καιρῷ, ᾧ ἐνεκίσσησεν τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, ἔθηκεν Ιακωβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων

الْقُضْبَانَ أَمَامَ الْغَنَمِ فِي الأَحْوَاضِ لِتَتَوَحَّمَ حَسَبَ الْقُضْبَان.

ἐν ταῖς ληνοῖς τοῦ ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους·

٤٢وَإِذَا وَلَدَتِ الْغَنَمُ لاَ يَضَعُهَا. فَصَارَتِ الْحَقِيرَةُ لِلاَبَانَ وَالْمُمَيَّزَةُ لِيَعْقُوبَ.

42 ἡνίκα δ᾽ ἂν ἔτεκον τὰ πρόβατα, οὐκ ἐτίθει· ἐγένετο δὲ τὰ ἄσημα τοῦ Λαβαν, τὰ δὲ ἐπίσημα τοῦ Ιακωβ.

٤٣فَصَارَ الرَّجُلُ غَنِيًّا جِدًّا جِدًّا وَصَارَتْ لَهُ مَاشِيَةٌ كَثِيرَةٌ وَبَقَرٌ وَعَبِيدٌ وَجَوَارٍ وَجِمَالٌ وَحَمِيرٌ.

43 καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφόδρα, καὶ ἐγένετο αὐτῷ κτήνη πολλὰ καὶ βόες καὶ παῖδες καὶ παιδίσκαι καὶ κάμηλοι καὶ ὄνοι.

اَلأَصْحَاحُ الْحَادِي وَالثَّلاَثُونَ

١فَسَمِعَ يَعْقُوبُ كَلاَمَ بَنِي لاَبَانَ قَائِلِينَ: «قَدْ أَخَذَ يَعْقُوبُ كُلَّ مَا كَانَ لأَبِينَا، وَمِمَّا لأَبِينَا صَنَعَ كُلَّ هذَا الْمَجْدِ».

1 Ἤκουσεν δὲ Ιακωβ τὰ ῥήματα τῶν υἱῶν Λαβαν λεγόντων Εἴληφεν Ιακωβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκεν πᾶσαν τὴν δόξαν ταύτην.

٢وَنَظَرَ يَعْقُوبُ وَجْهَ لاَبَانَ وَإِذَا هُوَ لَيْسَ مَعَهُ كَأَمْسِ وَأَوَّلَ مِنْ أَمْسِ.

2 καὶ εἶδεν Ιακωβ τὸ πρόσωπον τοῦ Λαβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν.

٣وَقَالَ الرَّبُّ لِيَعْقُوبَ:

3 εἶπεν δὲ κύριος πρὸς Ιακωβ Ἀποστρέφου

«ارْجِعْ إِلَى أَرْضِ أَبِيكَ وَإِلَى عَشِيرَتِكَ وَسَأَكُونَ مَعَكَ».

εἰς τὴν γῆν τοῦ πατρός σου καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ.

٤فَأَرْسَلَ يَعْقُوبُ وَدَعَا رَاحِيلَ وَلَيْئَةَ إِلَى السَّهْلِ حَيْثُ الْقُطْعَانِ،

4 ἀποστείλας δὲ Ιακωβ ἐκάλεσεν Ραχηλ καὶ Λειαν εἰς τὸ πεδίον, οὗ τὰ ποίμνια,

٥وَقَالَ لَهُمَا: «أَنَا أَرَى وَجْهَ أَبِيكُمَا أَنَّهُ لَيْسَ نَحْوِي كَأَمْسِ وَأَوَّلَ مِنْ أَمْسِ. وَلَكِنْ إِلَهُ أَبِي كَانَ مَعِي.

5 καὶ εἶπεν αὐταῖς Ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν ὅτι οὐκ ἔστιν πρὸς ἐμοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν· ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ᾽ ἐμοῦ.

٦وَأَنْتُمَا تَعْلَمَانِ أَنِّي بِكُلِّ قُوَّتِي خَدَمْتُ أَبَاكُمَا،

6 καὶ αὐταὶ δὲ οἴδατε ὅτι ἐν πάσῃ τῇ ἰσχύι μου δεδούλευκα τῷ πατρὶ ὑμῶν.

٧وَأَمَّا أَبُوكُمَا فَغَدَرَ بِي وَغَيَّرَ أُجْرَتِي لِلعَشَرَةِ خِرَافٍ[289]. لَكِنَّ اللهَ لَمْ يَسْمَحْ لَهُ أَنْ يَصْنَعَ بِي شَرّاً.

7 ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με καὶ ἤλλαξεν τὸν μισθόν μου τῶν δέκα ἀμνῶν, καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ θεὸς κακοποιῆσαί με.

٨إِنْ قَالَ هَكَذَا: الْمُخَطَّطَةُ تَكُونُ أُجْرَتَكَ، وَلَدَتْ كُلُّ الْغَنَمِ مُخَطَّطَاتٍ. وَإِنْ قَالَ:

8 ἐὰν οὕτως εἴπῃ Τὰ ποικίλα ἔσται σου μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα· ἐὰν δὲ εἴπῃ Τὰ λευκὰ ἔσται σου

---

[289] جاءت في العبري: إلى عشر مرات. وأما ما جاء في السبعينية فيُفهم منه أنه كان من المألوف أن تكون أجرة الأجير واحداً من كل عشرة خراف. ولكن لابان قال بدلاً من ذلك: «المخططة تكون أجرتك»، ثم غير القول: «البيضاء تكون أجرتك».

الْبَيْضَاءُ تَكُونُ أُجْرَتَكَ، وَلَدَتْ كُلُّ الْغَنَمِ بِيضاً.

μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα λευκά·

٩فَقَدْ سَلَبَ اللهُ كُلَّ مَوَاشِي أَبِيكُمَا وَأَعْطَاهَا لِي.

9 καὶ ἀφείλατο ὁ θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν καὶ ἔδωκέν μοι αὐτά.

١٠وَحَدَثَ عِنْدَمَا كَانَت الْغَنَمُ تَتَوَحَّمُ، أَنِّي رَأَيْتُ بِعَيْنَيَّ فِي حُلْمٍ وَإِذَا التُّيُوسُ وَالْكِبَاشُ الصَّاعِدَةُ عَلَى الْغَنَمِ وَالْمَعْزِ كَانَتْ بَلْقَاءَ وَمُخَطَّطَةً وَرُقْطاً رَمَادِيَّةً.

10 καὶ ἐγένετο ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς αὐτὰ ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἦσαν ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί.

١١وَقَالَ لِي مَلاَكُ اللهِ فِي الْحُلْمِ: يَا يَعْقُوبُ. أَمَّا أَنَا فَقُلْتُ: مَا الأَمْرُ؟

11 καὶ εἶπέν μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ᾽ ὕπνον Ιακωβ· ἐγὼ δὲ εἶπα Τί ἐστιν;

١٢فَقَالَ: ارْفَعْ عَيْنَيْكَ وَانْظُرْ التُّيُوسَ وَالْكِبَاشَ الصَّاعِدَةَ عَلَى الْغَنَمِ وَالْمَعْزِ بَلْقَاءَ وَمُخَطَّطَةً وَرُقْطاً رَمَادِيَّةً، لأَنِّي قَدْ رَأَيْتُ كُلَّ مَا يَصْنَعُ بِكَ لاَبَانُ.

12 καὶ εἶπεν Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἰδὲ τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς· ἑώρακα γὰρ ὅσα σοι Λαβαν ποιεῖ.

١٣أَنَا هُوَ الإِلَهُ الَّذِي ظَهَرَ

13 ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ

لَكَ فِي مَوْضِعِ (بَيْت) اللهِ حَيْثُ مَسَحْتَ لِي هُنَاكَ عَمُوداً، وَصَلَّيْتَ لِي هُنَاكَ صَلاةً. فَقُمِ الآنَ وَاخْرُجْ مِنْ هَذه الأَرْضِ وَاذْهَبْ إِلَى أَرْضِ مِيلاَدِكَ». وَسَأَكُونُ مَعَكَ[٢٩٠].

١٤فَأَجَابَتْ رَاحِيلُ وَلَيْئَةُ قَائلَتَين لَهُ: «أَلَنَا أَيْضاً نَصِيبٌ أَو مِيرَاثٌ فِي بَيْت أَبِينَا؟

١٥أَلَمْ نُحْسَبْ مِنْهُ كَأَجْنَبِيَّتَيْنِ، لأَنَّهُ بَاعَنَا وَقَدْ الْتَهَمَ أَيْضاً فضَّتَنَا الْتِهَاماً؟

١٦إِنَّ كُلَّ الْغِنَى وَالْمَجْد الَّذي سَلَبَهُ اللهُ مِنْ أَبِينَا يَكُونُ لَنَا وَلأَوْلاَدنَا. فَالآنَ كُلُّ مَا قَالَ لَكَ اللهُ افْعَلْ».

١٧فَقَامَ يَعْقُوبُ وَأَخَذَ نِسَاءَهُ وَأَوْلاَدَهُ عَلَى الْجِمَالِ

θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· νῦν οὖν ἀνάστηθι καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ.

14 καὶ ἀποκριθεῖσα Ραχηλ καὶ Λεια εἶπαν αὐτῷ Μὴ ἔστιν ἡμῖν ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν;

15 οὐχ ὡς αἱ ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακεν γὰρ ἡμᾶς καὶ κατέφαγεν καταβρώσει τὸ ἀργύριον ἡμῶν.

16 πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλατο ὁ θεὸς τοῦ πατρὸς ἡμῶν, ἡμῖν ἔσται καὶ τοῖς τέκνοις ἡμῶν. νῦν οὖν ὅσα εἴρηκέν σοι ὁ θεός, ποίει.

17 Ἀναστὰς δὲ Ιακωβ ἔλαβεν τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία αὐτοῦ ἐπὶ τὰς καμήλους

---

[٢٩٠] لا ترد جملة: «وسأكون معك»، في النص العبري، لكنها ترد في الترجمتين اليونانية والقبطية.

١٨وَسَاقَ كُلَّ أَمْلاكه وَجَمِيعَ ثَرْوَته الَّتِي كَانَ قَدِ اقْتَنَى فِي مَا بَيْنَ النَّهْرَيْنِ وَكُلَّ مَا لَهُ لِيَجِيءَ إِلَى إِسْحَاقَ أَبِيهِ إِلَى أَرْضِ كَنْعَانَ.

18 καὶ ἀπήγαγεν πάντα τὰ ὑπάρχοντα αὐτοῦ καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτοῦ, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ ἀπελθεῖν πρὸς Ισαακ τὸν πατέρα αὐτοῦ εἰς γῆν Χανααν.

١٩وَمَضَى لاَبَانُ لِيَجُزَّ غَنَمَهُ، فَسَرِقَتْ رَاحِيلُ أَصْنَامَ أَبِيهَا.

19 Λαβαν δὲ ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψεν δὲ Ραχηλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς.

٢٠وَأَخْفَى يَعْقُوبُ (الأَمْرَ) عَنْ لاَبَانَ السِّرْيَانِي لِكَي لاَ يُخْبِرَهُ أَحَدٌ بِأَنَّهُ هَارِبٌ.

20 ἔκρυψεν δὲ Ιακωβ Λαβαν τὸν Σύρον τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ ὅτι ἀποδιδράσκει,

٢١فَهَرَبَ هُوَ وَكُلُّ مَا لَهُ وَعَبَرَ النَّهْرَ وَأَسْرَعَ نَحْوَ جَبَلِ جِلْعَادَ.

21 καὶ ἀπέδρα αὐτὸς καὶ πάντα τὰ αὐτοῦ καὶ διέβη τὸν ποταμὸν καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλααδ.

٢٢فَأُخْبِرَ لاَبَانُ السِّرْيَانِي فِي الْيَوْمِ الثَّالِثِ بِأَنَّ يَعْقُوبَ قَدْ هَرَبَ،

22 ἀνηγγέλη δὲ Λαβαν τῷ Σύρῳ τῇ τρίτῃ ἡμέρᾳ ὅτι ἀπέδρα Ιακωβ,

٢٣فَأَخَذَ جَمِيعَ إِخْوَته[٢٩١] مَعَهُ وَسَعَى وَرَاءَهُ مَسِيرَةَ سَبْعَة

23 καὶ παραλαβὼν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ μεθ᾽ ἑαυτοῦ ἐδίωξεν

[٢٩١] تأتي في القبطي البحيري ⲛ̀ⲛⲉϥⲁ̀ⲗⲱⲟⲩⲓ أولاده، بمعنى غلمانه، لكنها تأتي بعد ذلك إخوته (عدد ٢٥).

ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτὰ καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει τῷ Γαλααδ.

أَيَّامٍ فَأَدْرَكَهُ فِي جَبَلِ جِلْعَادَ.

24 ἦλθεν δὲ ὁ θεὸς πρὸς Λαβαν τὸν Σύρον καθ᾽ ὕπνον τὴν νύκτα καὶ εἶπεν αὐτῷ Φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς μετὰ Ιακωβ πονηρά.

٢٤وَأَتَى اللهُ إِلَى لاَبَانَ السِّرْيَانِي فِي حُلْمِ اللَّيْلِ وَقَالَ لَهُ: «احْتَرِزْ لِنفسِكَ أَنْ لاَ تَتَكَلَّمَ مَعَ يَعْقُوبَ بِشَرٍّ».

25 καὶ κατέλαβεν Λαβαν τὸν Ιακωβ· Ιακωβ δὲ ἔπηξεν τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει· Λαβαν δὲ ἔστησεν τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῷ ὄρει Γαλααδ.

٢٥فَأَدْرَكَ لاَبَانُ يَعْقُوبَ، وَيَعْقُوبُ قَدْ نَصَبَ خَيْمَتَهُ فِي الْجَبَلِ. فَأَوْقَفَ لاَبَانُ إِخْوَتَهُ فِي جَبَلِ جِلْعَادَ.

26 εἶπεν δὲ Λαβαν τῷ Ιακωβ Τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας καὶ ἐκλοποφόρησάς με καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ;

٢٦وَقَالَ لاَبَانُ لِيَعْقُوبَ: «مَاذَا فَعَلْتَ؟ وَلِمَاذَا هَرَبْتَ خِفْيَةً وَسَرَقْتَنِي وَسُقْتَ بَنَاتِي كَسَبَايَا السَّيْفِ؟

27 καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἂν σε μετ᾽ εὐφροσύνης καὶ μετὰ μουσικῶν, τυμπάνων καὶ κιθάρας.

٢٧فَلَو كُنْتَ أَخْبَرْتَنِي، كُنْتُ أَرْسَلْتُكَ بِالْفَرَحِ وَالأَغَانِيِّ[٢٩٢] بِالطُبُولِ وَالْقِيثَارِ،

28 οὐκ ἠξιώθην καταφιλῆσαι τὰ παιδία

٢٨أَمَا حُسِبْتُ مُسْتَحِقاً أَنْ

---

[٢٩٢] تأتي في اليونانية μουσικῶν (موسيقيين)، بمعنى المغنيين.

أُقَبِّلَ بَنِيَّ وَبَنَاتِي؟ فَالآنَ بِغَبَاوَةٍ فَعَلْتَ!

μου καὶ τὰς θυγατέρας μου. νῦν δὲ ἀφρόνως ἔπραξας.

٢٩وَالآنَ تَقْدِرُ يَدِي أَنْ تُؤذِيَكَ، لَكِنْ إِلَهُ أَبِيكَ كَلَّمَنِي الْبَارِحَةَ قَائِلاً: احْتَرِزْ لِنَفْسِكَ أَنْ لاَ تَتَكَلَّمَ مَعَ يَعْقُوبَ بِشَرٍّ.

29 καὶ νῦν ἰσχύει ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ θεὸς τοῦ πατρός σου ἐχθὲς εἶπεν πρός με λέγων Φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς μετὰ Ιακωβ πονηρά.

٣٠وَالآنَ أَنْتَ ذَهَبْتَ، لأَنَّكَ قَدِ اشْتَقْتَ اشْتِيَاقاً أَنْ تَمْضِيَ إِلَى بَيْتِ أَبِيكَ، فَلِمَاذَا سَرَقْتَ آلِهَتِي؟»

30 νῦν οὖν πεπόρευσαι· ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου· ἵνα τί ἔκλεψας τοὺς θεούς μου;

٣١فَأَجَابَ يَعْقُوبُ وَقَالَ لِلاَبَانَ: «إِنِّي قُلْتُ لَعَلَّكَ تَغْتَصِبُ ابْنَتَيْكَ مِنِّي وَكُلَّ مَا لِي.

31 ἀποκριθεὶς δὲ Ιακωβ εἶπεν τῷ Λαβαν Εἶπα γάρ Μήποτε ἀφέλῃς τὰς θυγατέρας σου ἀπ᾽ ἐμοῦ καὶ πάντα τὰ ἐμά·

٣٢اعْرِفْ مَاذَا لَكَ عِنْدِي، وَخُذْهُ، فَلَمْ يَتَعَرَّفْ عَلَى شَيْءٍ عِنْدَهُ. وَقَالَ لَهُ يَعْقُوبُ: الَّذِي تَجِدُ آلِهَتَكَ مَعَهُ لاَ يَعِيشُ قُدَّامَ إِخْوَتِنَا». وَلَمْ يَكُنْ يَعْقُوبُ يَعْلَمُ أَنَّ رَاحِيلَ امْرَأَتَهُ

32 ἐπίγνωθι, τί ἐστιν τῶν σῶν παρ᾽ ἐμοί, καὶ λαβέ. καὶ οὐκ ἐπέγνω παρ᾽ αὐτῷ οὐθέν. καὶ εἶπεν αὐτῷ Ιακωβ Παρ᾽ ᾧ ἐὰν εὕρῃς τοὺς θεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν. οὐκ ᾔδει δὲ Ιακωβ ὅτι Ραχηλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς.

قَدْ سَرَقَتْهَا.

٣٣فَدَخَلَ لاَبَانُ وَفَتَّشَ بَيْتَ لَيْئَةَ فَلَمْ يَجِدْ، وَخَرَجَ مِنْ بَيْتِ لَيْئَةَ وَفَتَّشَ بَيْتَ يَعْقُوبَ وَبَيْتَ الْجَارِيَتَيْنِ وَلَمْ يَجِدْ. فَدَخَلَ أَيْضاً بَيْتَ رَاحِيلَ.

33 εἰσελθὼν δὲ Λαβαν ἠρεύνησεν εἰς τὸν οἶκον Λειας καὶ οὐχ εὗρεν· καὶ ἐξελθὼν ἐκ τοῦ οἴκου Λειας ἠρεύνησεν τὸν οἶκον Ιακωβ καὶ ἐν τῷ οἴκῳ τῶν δύο παιδισκῶν καὶ οὐχ εὗρεν. εἰσῆλθεν δὲ καὶ εἰς τὸν οἶκον Ραχηλ.

٣٤وَكَانَتْ رَاحِيلُ قَدْ أَخَذَتِ الأَصْنَامَ وَطَرَحَتْهَا فِي رِحَالِ الْجَمَلِ وَجَلَسَتْ عَلَيْهَا.

34 Ραχηλ δὲ ἔλαβεν τὰ εἴδωλα καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σάγματα τῆς καμήλου καὶ ἐπεκάθισεν αὐτοῖς

٣٥وَقَالَتْ لأَبِيهَا: «لاَ يَصْعُبْ عَلَيْكَ (الأَمْرُ)، يَا سَيِّدِي، إِنِّي لاَ أَسْتَطِيعُ أَنْ أَقُومَ أَمَامَكَ لأَنَّ عَلَيَّ عَادَةَ النِّسَاءِ». فَفَتَّشَ لاَبَانُ فِي كُلِّ الْبَيْتِ وَلَمْ يَجِدِ الأَصْنَامَ.

35 καὶ εἶπεν τῷ πατρὶ αὐτῆς Μὴ βαρέως φέρε, κύριε· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὸ κατ᾽ ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν. ἠρεύνησεν δὲ Λαβαν ἐν ὅλῳ τῷ οἴκῳ καὶ οὐχ εὗρεν τὰ εἴδωλα.

٣٦فَاغْتَاظَ يَعْقُوبُ وَتَشَاجَرَ مَعَ لاَبَانَ. وَأَجَابَ يَعْقُوبُ وَقَالَ لِلاَبَانَ: «مَا

36 ὠργίσθη δὲ Ιακωβ καὶ ἐμαχέσατο τῷ Λαβαν· ἀποκριθεὶς δὲ Ιακωβ εἶπεν τῷ Λαβαν Τί τὸ ἀδίκημά μου καὶ τί τὸ

جُرْمِي وَمَا خَطِيئَتِي حَتَّى سَعَيْتَ وَرَائِي،

ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου

٣٧وَحَتَّى فَتَّشْتَ جَمِيعَ أَثَاثِي؟ مَاذَا وَجَدْتَ مِنْ جَمِيعِ أَثَاثِ بَيْتِكَ؟ ضَعْهُ هَهُنَا قُدَّامَ إِخْوَتِي وَإِخْوَتِكَ! فَلْيَحْكُمُوا بَيْنَنَا نَحْنُ الاثْنَيْنِ.

37 καὶ ὅτι ἠρεύνησας πάντα τὰ σκεύη μου; τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; θὲς ὧδε ἐναντίον τῶν ἀδελφῶν μου καὶ τῶν ἀδελφῶν σου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν.

٣٨خلالَ هَذِه العِشْرِينَ سَنَةَ الَّتِي لِي وَأَنَا مَعَكَ، نعَاجُكَ وَعِنَازُكَ لَمْ تُسْقِطْ. وَكِبَاشَ غَنَمِكَ لَمْ آكُلْ.

38 ταῦτά μοι εἴκοσι ἔτη ἐγώ εἰμι μετὰ σοῦ· τὰ πρόβατά σου καὶ αἱ αἶγές σου οὐκ ἠτεκνώθησαν· κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον·

٣٩فَرِيسَةً لَمْ أُحْضِرْ إِلَيْكَ. كُنْتُ أُعَوِّضُ مِنْ عِنْدِي مَسْرُوقَةَ النَّهَارِ وَمَسْرُوقَةَ اللَّيْلِ.

39 θηριάλωτον οὐκ ἀνενήνοχά σοι, ἐγὼ ἀπετίννυον παρ᾽ ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός·

٤٠كُنْتُ أَحْتَرِقُ بِحَرِّ النَّهَارِ، (وَأَتَجَمَّدُ) بِصَقِيعِ اللَّيْلِ، وَطَارَ النَوْمُ مِنْ عَيْنَيَّ.

40 ἐγινόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι καὶ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου.

٤١لِي (اَلآنَ) هَذِه العِشْرُونَ سَنَة وَأَنَا فِي بَيْتِكَ.

41 ταῦτά μοι εἴκοσι ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου· ἐδούλευσά σοι δέκα τέσσαρα ἔτη

خَدَمْتُكَ أَرْبَعَ عَشَرَةَ سَنَةً فِي مُقَابِلِ ابْنَتَيْكَ وَستَّ سِنِينَ بِغَنَمِكَ. وَقَدْ بَخَسْتَ أُجْرَتِي الْخَاصَّةَ بِالْعَشَرَةِ خِرَافٍ[٢٩٣]!

ἀντὶ τῶν δύο θυγατέρων σου καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάσιν.

٤٢لَوْلاَ أَنَّ إِلَهَ أَبِي إِبْرَاهِيمَ، وَهَيْبَةَ إِسْحَاقَ، كَانَ مَعِي لَكُنْتَ الآنَ قَدْ صَرَفْتَنِي فَارِغاً. قَدْ نَظَرَ اللهُ مَذَلَّتِي وَتَعَبَ يَدَيَّ فَوَبَّخَكَ الْبَارِحَةَ».

42 εἰ μὴ ὁ θεὸς τοῦ πατρός μου Αβρααμ καὶ ὁ φόβος Ισαακ ἦν μοι, νῦν ἂν κενόν με ἐξαπέστειλας· τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ θεὸς καὶ ἤλεγξέν σε ἐχθές.

٤٣فَأَجَابَ لاَبَانُ وَقَالَ لِيَعْقُوبَ: «الْبَنَاتُ بَنَاتِي، وَالْبَنُونَ بَنِيَّ، وَالْمَاشِيَةُ مَاشِيَتِي، وَكُلُّ مَا أَنْتَ تَرَى فَهُوَ لِي وَلِبَنَاتِي. فَمَاذَا أَصْنَعُ بِهِنَّ الْيَوْمَ أَوْ بِأَوْلاَدِهِنَّ الَّذِينَ وَلَدْنَ؟

43 ἀποκριθεὶς δὲ Λαβαν εἶπεν τῷ Ιακωβ Αἱ θυγατέρες θυγατέρες μου, καὶ οἱ υἱοὶ υἱοί μου, καὶ τὰ κτήνη κτήνη μου, καὶ πάντα, ὅσα σὺ ὁρᾷς, ἐμά ἐστιν καὶ τῶν θυγατέρων μου. τί ποιήσω ταύταις σήμερον ἢ τοῖς τέκνοις αὐτῶν, οἷς ἔτεκον;

٤٤لِذَلِكَ الآنَ هَلُمَّ نَقْطَعْ عَهْداً أَنَا وَأَنْتَ، فَيَكُونُ شَاهِداً بَيْنِي وَبَيْنَكَ». وَقَالَ لَهُ: «هُوَذَا لاَ يُوجَدُ أَحَدٌ مَعَنَا، اُنْظُرْ، فَاللهُ

44 νῦν οὖν δεῦρο διαθώμεθα διαθήκην ἐγὼ καὶ σύ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. εἶπεν δὲ αὐτῷ Ἰδοὺ οὐθεὶς μεθ᾽ ἡμῶν ἐστιν, ἰδὲ ὁ θεὸς μάρτυς

[٢٩٣] انظر العدد ٧ والحاشية.

شَاهِدٌ بَيْنِي وَبَيْنَكَ».

٤٥فَأَخَذَ يَعْقُوبُ حَجَراً وَنَصَبَهُ عَمُوداً.

٤٦وَقَالَ يَعْقُوبُ لإِخْوَتِه: «اجْمَعُوا حِجَارَةً». فَجَمَعُوا حِجَارَةً وَجَعَلُوهَا تَلاًّ، وَأَكَلُوا وَشَرِبُوا هُنَاكَ عَلَى التَّلِ. وَقَالَ لَهُ لابَانُ: «يَشْهَدُ هَذَا التَّلُّ بَيْنِي وَبَيْنَكَ الْيَوْمَ».

٤٧وَدَعَاهُ لاَبَانُ «تَلَّ الشَّهَادَة»[٢٩٤]، وَأَمَّا يَعْقُوبُ فَدَعَاهُ «التَّلَّ الشَّاهِدَ»

٤٨وَقَالَ لاَبَانُ لِيَعْقُوبَ: «هُوذَا هَذَا التَّلُّ وَهَذَا الْعَمُودُ الَّذِي نَصَبْتُهُ بَيْنِي وَبَيْنَكَ، يَشْهَدُ هَذَا التَّلُّ وَيَشْهَدُ هَذَا الْعَمُودُ». لِذَلِكَ دُعِيَ اسْمُهُ «التَّلُّ يَشْهَدُ»

ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.

45 λαβὼν δὲ Ιακωβ λίθον ἔστησεν αὐτὸν στήλην.

46 εἶπεν δὲ Ιακωβ τοῖς ἀδελφοῖς αὐτοῦ Συλλέγετε λίθους. καὶ συνέλεξαν λίθους καὶ ἐποίησαν βουνόν, καὶ ἔφαγον καὶ ἔπιον ἐκεῖ ἐπὶ τοῦ βουνοῦ. καὶ εἶπεν αὐτῷ Λαβαν Ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ σήμερον.

47 καὶ ἐκάλεσεν αὐτὸν Λαβαν Βουνὸς τῆς μαρτυρίας, Ιακωβ δὲ ἐκάλεσεν αὐτὸν Βουνὸς μάρτυς.

48 εἶπεν δὲ Λαβαν τῷ Ιακωβ Ἰδοὺ ὁ βουνὸς οὗτος καὶ ἡ στήλη αὕτη, ἣν ἔστησα ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, μαρτυρεῖ ὁ βουνὸς οὗτος καὶ μαρτυρεῖ ἡ στήλη αὕτη· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Βουνὸς μαρτυρεῖ

---

[٢٩٤] ورد الاسم على فم لابان باللغة الآرامية יְגַר שָׂהֲדוּתָא (يجار شهادوتا) وهما الكلمتان الآراميتان الوحيدتان في هذا السفر.

٤٩وَالرُّؤيَا الَّتِي قَالَها: «لِيَقْضِ اللهُ بَيْنِي وَبَيْنَكَ، لأَنَّنَا سَنَفْتَرِقُ بَعْضُنَا عَنْ بَعْضٍ،

49 καὶ Ἡ ὅρασις, ἣν εἶπεν Ἐπίδοι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησόμεθα ἕτερος ἀπὸ τοῦ ἑτέρου.

٥٠إِنْ أَذْلَلْتَ بَنَاتِي، وَإِنْ أَخَذْتَ نِسَاءً عَلَى بَنَاتِي. انْظُرْ لاَ يُوجَدُ أَحَدٌ مَعَنَا[٢٩٥]،

50 εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λήμψῃ γυναῖκας ἐπὶ ταῖς θυγατράσιν μου, ὅρα οὐθεὶς μεθ᾽ ἡμῶν ἐστιν·

٥٢أَنْ لاَ أَعْبُرَ هَذَا التَّلَ وَهَذَا العَمُودَ إِلَيْكَ وَأَنْ لاَ تَعْبُرَهَا إِلَيَّ لِلشَّرِّ.

52 ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σὲ μηδὲ σὺ διαβῇς πρός με τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ,

٥٣إِلَهُ إِبْرَاهِيمَ وَإِلَهُ نَاحُورَ يَحْكُمُ بَيْنَنَا». وَحَلَفَ يَعْقُوبُ بِهَيْبَةِ أَبِيهِ إِسْحَاقَ.

53 ὁ θεὸς Αβρααμ καὶ ὁ θεὸς Ναχωρ κρινεῖ ἀνὰ μέσον ἡμῶν. καὶ ὤμοσεν Ιακωβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ισαακ.

٥٤وَذَبَحَ يَعْقُوبُ ذَبِيحَةً فِي الْجَبَلِ وَدَعَا إِخْوَتَهُ، فَأَكَلُوا وَشَرِبُوا وَبَاتُوا فِي الْجَبَلِ[٢٩٦]:

54 καὶ ἔθυσεν Ιακωβ θυσίαν ἐν τῷ ὄρει καὶ ἐκάλεσεν τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει.

---

[٢٩٥] لا يأتي بقية العدد ٥٠ ولا العدد ٥١ من النص العبري في الترجمة السبعينية: «الله شاهد بيني وبينك، وقال لابان ليعقوب: هوذا التل مع العمود شاهد»، كما لا يرد في الترجمتين القبطية البحيرية أو الصعيدية (أضافت الترجمة القبطية البحيرية المنشورة عام ١٩٣٩ هذا الجزء، وعنها أخذت بعض الطبعات التالية).

[٢٩٦] العدد ٥٥ من النص العبري يقابله العدد الأول من الأصحاح الثاني والثلاثين من الترجمة السبعينية.

اَلأَصْحَاحُ الثَّانِي وَالثَّلاَثُونَ

١ثُمَّ قَامَ لاَبَانُ بَاكِراً وَقَبَّلَ بَنِيهِ وَبَنَاتِهِ وَبَارَكَهُمْ، وَرَجَعَ لاَبَانُ وَمَضَى إِلَى مَكَانِهِ[٢٩٧].

1 ἀναστὰς δὲ Λαβαν τὸ πρωὶ κατεφίλησεν τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ εὐλόγησεν αὐτούς, καὶ ἀποστραφεὶς Λαβαν ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ.

٢وَمَضَى يَعْقُوبُ فِي طَرِيقِهِ، وَنَظَرَ إِلَى فَوْقُ فَرَأَى جَيْشَ اللهِ مُصْطَفّاً[٢٩٨]، وَلاَقَتْهُ مَلاَئِكَةُ اللهِ.

2 Καὶ Ιακωβ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ὁδόν. καὶ ἀναβλέψας εἶδεν παρεμβολὴν θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ θεοῦ.

٣وَقَالَ يَعْقُوبُ لَمَّا رَآهُمْ: «هَذَا جَيْشُ اللهِ!» فَدَعَا اسْمَ ذَلِكَ الْمَكَانِ «جُيُوشاً[٢٩٩]».

3 εἶπεν δὲ Ιακωβ, ἡνίκα εἶδεν αὐτούς Παρεμβολὴ θεοῦ αὕτη· καὶ ἐκάλεσεν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Παρεμβολαί.

٤وَأَرْسَلَ يَعْقُوبُ رُسُلاً[٣٠٠] قُدَّامَهُ إِلَى عِيسُو أَخِيهِ إِلَى أَرْضِ سَعِيرَ إِلَى بَلَدِ أَدُومَ

4 Ἀπέστειλεν δὲ Ιακωβ ἀγγέλους ἔμπροσθεν αὐτοῦ πρὸς Ησαυ τὸν ἀδελφὸν αὐτοῦ εἰς γῆν Σηιρ εἰς χώραν Εδωμ

---

[٢٩٧] العدد الأول من هذه الترجمة عن السبعينية يقابله العدد الثاني من النص العبري، وهكذا دواليك حتى نهاية الأصحاح.

[٢٩٨] لا ترد هذه الجملة في النص العبري، لكنها تأتي في الترجمات السبعينية والقبطية البحيرية والصعيدية.

[٢٩٩] يأتي الاسم في العبري מַחֲנָיִם (محنايم) ومعناه: معسكرين، ويأتي في اليونانية Παρεμβολαί ومعناها: جيوش أو معسكرات.

٥وَأَوْصَاهُمْ قَائِلاً: «هَكَذَا تَقُولُونَ لِسَيِّدِي عِيسُو: هَكَذَا يَقُولُ عَبْدُكَ يَعْقُوبُ: تَغَرَّبْتُ عِنْدَ لاَبَانَ وَلَبِثْتُ إِلَى الآنَ.

5 καὶ ἐνετείλατο αὐτοῖς λέγων Οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ησαυ Οὕτως λέγει ὁ παῖς σου Ιακωβ Μετὰ Λαβαν παρῴκησα καὶ ἐχρόνισα ἕως τοῦ νῦν,

٦وَقَدْ صَارَ لِي بَقَرٌ وَحَمِيرٌ وَغَنَمٌ وَعَبِيدٌ وَإِمَاءٌ. وَأَرْسَلْتُ لأُخْبِرَ سَيِّدِي عِيسُو، لِكَيْ يَجِدَ عَبْدُكَ نِعْمَةً أَمَامَكَ».

6 καὶ ἐγένοντό μοι βόες καὶ ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι, καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ μου Ησαυ, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου.

٧فَرَجَعَ الرُّسُلُ إِلَى يَعْقُوبَ قَائِلِينَ: «أَتَيْنَا إِلَى أَخِيكَ عِيسُو وَهَا هُوَ قَادِمٌ لِلِقَائِكَ وَأَرْبَعُ مِئَةِ رَجُلٍ مَعَهُ».

7 καὶ ἀνέστρεψαν οἱ ἄγγελοι πρὸς Ιακωβ λέγοντες Ἤλθομεν πρὸς τὸν ἀδελφόν σου Ησαυ, καὶ ἰδοὺ αὐτὸς ἔρχεται εἰς συνάντησίν σοι καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ.

٨فَخَافَ يَعْقُوبُ جِدًّا وَارْتَبَكَ. فَقَسَمَ الشَّعْبَ الَّذِي مَعَهُ وَالْبَقَرَ وَالْغَنَمَ إِلَى فِرْقَتَيْنِ[٣٠١].

8 ἐφοβήθη δὲ Ιακωβ σφόδρα καὶ ἠπορεῖτο. καὶ διεῖλεν τὸν λαὸν τὸν μετ᾽ αὐτοῦ καὶ τοὺς βόας καὶ τὰ πρόβατα εἰς δύο παρεμβολάς,

---

[٣٠٠] تأتي في اليونانية ἀγγέλους ومعناها: ملائكة (أو رسل)، كترجمة للكلمة العبرية מַלְאָכִים (ملاخيم) والتي تعني ملائكة أو رسلاً.

[٣٠١] هي نفس الكلمة Παρεμβολή التي وردت في الأعداد ٢و٣ والتي تعني جيشاً أو معسكراً، وسترد أيضاً في الأعداد القادمة (٩و١١: فرقة، ٢٢: المحلة).

٩وَقَالَ يَعْقُوبُ: «إِنْ جَاءَ عِيسُو إِلَى الْفِرْقَةِ الْوَاحِدَةِ وَضَرَبَهَا، تَكُونُ الْفِرْقَةُ الثَّانِيَةُ نَاجِيَةً».

9 καὶ εἶπεν Ιακωβ Ἐὰν ἔλθῃ Ησαυ εἰς παρεμβολὴν μίαν καὶ ἐκκόψῃ αὐτήν, ἔσται ἡ παρεμβολὴ ἡ δευτέρα εἰς τὸ σῴζεσθαι.

١٠وَقَالَ يَعْقُوبُ: «يَا إِلَهَ أَبِي إِبْرَاهِيمَ وَإِلَهَ أَبِي إِسْحَاقَ، الرَّبَّ الَّذِي قَالَ لِيَ: أَسْرِعْ إِلَى أَرْضِ مِيلادِكَ فَأُحْسِنَ إِلَيْكَ.

10 εἶπεν δὲ Ιακωβ Ὁ θεὸς τοῦ πατρός μου Αβρααμ καὶ ὁ θεὸς τοῦ πατρός μου Ισαακ, κύριε ὁ εἴπας μοι Ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου καὶ εὖ σε ποιήσω,

١١كَثِيرٌ عَلَيَّ جَمِيعُ بِرِّكَ وَجَمِيعُ حَقِّكَ الَّذِي صَنَعْتَ إِلَى عَبْدِكَ. فَإِنِّي بِعَصَايَ عَبَرْتُ هَذَا الأُرْدُنَّ، وَالآنَ قَدْ صِرْتُ فِرْقَتَيْنِ.

11 ἱκανοῦταί μοι ἀπὸ πάσης δικαιοσύνης καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου· ἐν γὰρ τῇ ῥάβδῳ μου διέβην τὸν Ιορδάνην τοῦτον, νῦν δὲ γέγονα εἰς δύο παρεμβολάς.

١٢نَجِّنِي مِنْ يَدِ أَخِي عِيسُو لأَنِّي خَائِفٌ مِنْهُ، لِئَلا يَأْتِيَ وَيَضْرِبَنِي الأُمَّ عَلَى الأَوْلاَدِ.

12 ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου Ησαυ, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μήποτε ἐλθὼν πατάξῃ με καὶ μητέρα ἐπὶ τέκνοις.

١٣وَأَنْتَ قَدْ قُلْتَ: إِنِّي سَأُحْسِنُ إِلَيْكَ وَأَجْعَلُ نَسْلَكَ

13 σὺ δὲ εἶπας Καλῶς εὖ σε ποιήσω καὶ θήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς

كَرَمْلِ الْبَحْرِ الَّذِي لاَ يُعَدُّ مِنَ الْكَثْرَةِ».

θαλάσσης, ἣ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους.

١٤وَبَاتَ هُنَاكَ تِلْكَ اللَّيْلَةَ، وَأَخَذَ مِمَّا أَحْضَرَ هَدَايَا وَأَرْسَلَهَا لِعِيسُو أَخِيهِ:

14 καὶ ἐκοιμήθη ἐκεῖ τὴν νύκτα ἐκείνην. καὶ ἔλαβεν ὧν ἔφερεν δῶρα καὶ ἐξαπέστειλεν Ησαυ τῷ ἀδελφῷ αὐτοῦ,

١٥مِئَتَيْ عَنْزٍ وَعِشْرِينَ تَيْساً، مِئَتَيْ نَعْجَةٍ وَعِشْرِينَ كَبْشاً،

15 αἶγας διακοσίας, τράγους εἴκοσι, πρόβατα διακόσια, κριοὺς εἴκοσι,

١٦ثَلاَثِينَ نَاقَةً مُرْضِعَةً وَأَوْلاَدَهَا، أَرْبَعِينَ بَقَرَةً وَعَشَرَةَ ثِيرَانٍ، عِشْرِينَ أَتَاناً وَعَشَرَةَ جِحَاشٍ،

16 καμήλους θηλαζούσας καὶ τὰ παιδία αὐτῶν τριάκοντα, βόας τεσσαράκοντα, ταύρους δέκα, ὄνους εἴκοσι καὶ πώλους δέκα.

١٧وَدَفَعَهَا إِلَى يَدِ عَبِيدِهِ كُلَّ قَطِيعٍ بِمُفْرَدِهِ. وَقَالَ لِعَبِيدِهِ: «تَقَدَّمُوا قُدَّامِي وَاجْعَلُوا مَسَافَةً بَيْنَ قَطِيعٍ وَقَطِيعٍ».

17 καὶ ἔδωκεν διὰ χειρὸς τοῖς παισὶν αὐτοῦ ποίμνιον κατὰ μόνας. εἶπεν δὲ τοῖς παισὶν αὐτοῦ Προπορεύεσθε ἔμπροσθέν μου καὶ διάστημα ποιεῖτε ἀνὰ μέσον ποίμνης καὶ ποίμνης.

١٨وَأَوْصَى الأَوَّلَ قَائِلاً: «إِذَا قَابَلَكَ عِيسُو أَخِي وَسَأَلَكَ قَائِلاً: لِمَنْ أَنْتَ وَإِلَى

18 καὶ ἐνετείλατο τῷ πρώτῳ λέγων Ἐάν σοι συναντήσῃ Ησαυ ὁ ἀδελφός μου καὶ ἐρωτᾷ σε λέγων Τίνος εἶ καὶ ποῦ πορεύῃ,

καὶ τίνος ταῦτα τὰ προπορευόμενά σου;

أَيْنَ تَذْهَبُ وَلِمَنْ هَذِهِ (الْقُطْعَانِ) الَّتِي تَسِيرُ قُدَّامَكَ؟

19 ἐρεῖς Τοῦ παιδός σου Ιακωβ· δῶρα ἀπέσταλκεν τῷ κυρίῳ μου Ησαυ, καὶ ἰδοὺ αὐτὸς ὀπίσω ἡμῶν.

١٩تَقُولُ: لِعَبْدِكَ يَعْقُوبَ. هَدَايَا أَرْسَلَهَا لِسَيِّدِي عِيسُو، وَهَا هُوَ (آتٍ) وَرَاءَنَا».

20 καὶ ἐνετείλατο τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τῷ τρίτῳ καὶ πᾶσι τοῖς προπορευομένοις ὀπίσω τῶν ποιμνίων τούτων λέγων Κατὰ τὸ ῥῆμα τοῦτο λαλήσατε Ησαυ ἐν τῷ εὑρεῖν ὑμᾶς αὐτὸν

٢٠وَأَوْصَى الأَوَّلَ وَالثَّانِيَ وَالثَّالِثَ وَجَمِيعَ الْمُتَقَدِّمِينَ أَمَامَهُ وَرَاءَ هَذِهِ الْقُطْعَانِ قَائِلاً: «بِمِثْلِ هَذِهِ الْكَلِمَةِ تُكَلِّمُونَ عِيسُو حِينَمَا تَجِدُونَهُ

21 καὶ ἐρεῖτε Ἰδοὺ ὁ παῖς σου Ιακωβ παραγίνεται ὀπίσω ἡμῶν. εἶπεν γάρ Ἐξιλάσομαι τὸ πρόσωπον αὐτοῦ ἐν τοῖς δώροις τοῖς προπορευομένοις αὐτοῦ, καὶ μετὰ τοῦτο ὄψομαι τὸ πρόσωπον αὐτοῦ· ἴσως γὰρ προσδέξεται τὸ πρόσωπόν μου.

٢١وَتَقُولُونَ: هُوَذَا عَبْدُكَ يَعْقُوبُ آتٍ وَرَاءَنَا». لأَنَّهُ قَالَ: «أَسْتَعْطِفُ وَجْهَهُ بِالْهَدَايَا السَّائِرَةِ أَمَامَهُ، وَبَعْدَ ذَلِكَ أَنْظُرُ وَجْهَهُ، عَسَى أَنْ يَقْبَلَ وَجْهِي».

22 καὶ παρεπορεύοντο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ, αὐτὸς δὲ ἐκοιμήθη τὴν νύκτα ἐκείνην ἐν τῇ παρεμβολῇ.

٢٢وَتَقَدَّمَتِ الْهَدَايَا قُدَّامَ وَجْهِهِ، وَأَمَّا هُوَ فَبَاتَ تِلْكَ اللَّيْلَةَ فِي الْمَحَلَّةِ.

23 Ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην ἔλαβεν

٢٣ثُمَّ قَامَ فِي تِلْكَ اللَّيْلَةِ

وَأَخَذَ امْرَأَتَيْهِ وَجَارِيَتَيْهِ وَأَوْلاَدَهُ الأَحَدَ عَشَرَ وَعَبَرَ مَعْبَرَ يَبُّوقَ.	τὰς δύο γυναῖκας καὶ τὰς δύο παιδίσκας καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ καὶ διέβη τὴν διάβασιν τοῦ Ιαβοκ·
٢٤ثُمَّ أَخَذَهُمْ وَعَبَرَ الْوَادِيَ وَأَجَازَ كُلَّ مَا كَانَ لَهُ.	24 καὶ ἔλαβεν αὐτοὺς καὶ διέβη τὸν χειμάρρουν καὶ διεβίβασεν πάντα τὰ αὐτοῦ.
٢٥فَتُرِكَ يَعْقُوبُ وَحْدَهُ. وَتَصَارَعَ إِنْسَانٌ مَعَهُ حَتَّى الْفَجْرِ.	25 ὑπελείφθη δὲ Ιακωβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ᾽ αὐτοῦ ἕως πρωί.
٢٦وَلَمَّا رَأَى أَنَّهُ لاَ يَقْدِرُ عَلَيْهِ، لَمَسَ حُقَّ فَخْذِهِ، فَتَيَبَّسَ[٣٠٢] حُقُّ فَخْذِ يَعْقُوبَ فِي مُصَارَعَتِهِ مَعَهُ.	26 εἶδεν δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησεν τὸ πλάτος τοῦ μηροῦ Ιακωβ ἐν τῷ παλαίειν αὐτὸν μετ᾽ αὐτοῦ.
٢٧وَقَالَ لَهُ: «أَطْلِقْنِي لأَنَّهُ قَدْ طَلَعَ الْفَجْرُ». فَقَالَ: «لاَ أُطْلِقُكَ إِنْ لَمْ تُبَارِكْنِي».	27 καὶ εἶπεν αὐτῷ Ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν Οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς.
٢٨فَقَالَ لَهُ: «مَا هُوَ اسْمُكَ؟» أَمَّا هُوَ فَقَالَ:	28 εἶπεν δὲ αὐτῷ Τί τὸ ὄνομά σού ἐστιν; ὁ δὲ εἶπεν Ιακωβ.

[٣٠٢] الفعل اليوناني ναρκάω يعني تخدَّر أو تيبَّس أو تخدَّل، ومن هذا الفعل كلمة narcotic أي المخدر أو المادة المخدرة.

«يَعْقُوبُ».

٢٩فَقَالَ لَهُ: «لاَ يُدْعَى اسْمُكَ فِي مَا بَعْدُ يَعْقُوبَ بَلْ يَكُونُ اسْمُكَ إِسْرَائِيلَ[٢٠٣]، لأَنَّكَ تَشَدَّدتَ مَعَ اللهِ، وَمَعَ النَّاسِ (أَنْتَ) قَوِيٌّ».

٣٠وَسَأَلَهُ يَعْقُوبُ وَقَالَ: «أَخْبِرْنِي بِاسْمِكَ». فَقَالَ: «لِمَاذَا تَسْأَلُ عَنِ اسْمِي؟» وَبَارَكَهُ هُنَاكَ.

٣١فَدَعَا يَعْقُوبُ اسْمَ ذَلِكَ الْمَكَانِ «مَنْظَرَ اللهِ[٢٠٤]»، لأَنِّي نَظَرْتُ اللهَ وَجْهاً لِوَجْهٍ وَنُجِّيَتْ نَفْسِي».

٣٢وَأَشْرَقَتْ لَهُ الشَّمْسُ عِنْدَمَا عَبَرَ «مَنْظَرَ اللهِ» وَهُوَ يَعْرُجُ عَلَى فَخْذِهِ

٣٣مَنْ أَجْلِ هَذَا لاَ يَأْكُلُ

29 εἶπεν δὲ αὐτῷ Οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ιακωβ, ἀλλὰ Ισραηλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατός.

30 ἠρώτησεν δὲ Ιακωβ καὶ εἶπεν Ἀνάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν Ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ ηὐλόγησεν αὐτὸν ἐκεῖ.

31 καὶ ἐκάλεσεν Ιακωβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Εἶδος θεοῦ· εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.

32 ἀνέτειλεν δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθεν τὸ Εἶδος τοῦ θεοῦ· αὐτὸς δὲ ἐπέσκαζεν τῷ μηρῷ αὐτοῦ.

33 ἕνεκεν τούτου οὐ μὴ φάγωσιν οἱ υἱοὶ

---

[٢٠٣] يأتي الاسم في العبري יִשְׂרָאֵל (يسرائيل) ومعناه: يجاهد مع الله.

[٢٠٤] يأتي الاسم في العبري פְּנִיאֵל (فنيئيل) ومعناه: وجه الله.

بَنُو إِسْرَائِيلَ الْعَصَبَ الَّذِي تَيَبَّسَ الَّذِي عَلَى حُقِّ الْفَخْذِ إِلَى هَذَا الْيَوْمِ، لأَنَّهُ لَمَسَ حُقَّ فَخْذِ يَعْقُوبَ عَلَى الْعَصَبِ فَتَيَبَّسَ.

Ισραηλ τὸ νεῦρον, ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τοῦ πλάτους τοῦ μηροῦ, ἕως τῆς ἡμέρας ταύτης, ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ Ιακωβ τοῦ νεύρου καὶ ἐνάρκησεν.

اَلأَصْحَاحُ الثَّالِثُ وَالثَّلاَثُونَ

١وَتَطَلَّعَ يَعْقُوبُ وَنَظَرَ وَإِذَا عِيسُو أَخُوهُ مُقْبِلٌ وَأَرْبَعُ مِئَةِ رَجُلٍ مَعَهُ. فَقَسَمَ يَعْقُوبُ الأَوْلاَدَ عَلَى لَيْئَةَ وَعَلَى رَاحِيلَ وَعَلَى الْجَارِيَتَيْنِ،

1 Ἀναβλέψας δὲ Ιακωβ εἶδεν καὶ ἰδοὺ Ησαυ ὁ ἀδελφὸς αὐτοῦ ἐρχόμενος καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. καὶ ἐπιδιεῖλεν Ιακωβ τὰ παιδία ἐπὶ Λειαν καὶ Ραχηλ καὶ τὰς δύο παιδίσκας

٢وَجَعَلَ الْجَارِيَتَيْنِ وَأَوْلاَدَهُمَا فِي الأَوَّلِ وَلَيْئَةَ وَأَوْلاَدَهَا وَرَاءَهُمْ وَرَاحِيلَ وَيُوسُفَ أَخِيراً.

2 καὶ ἐποίησεν τὰς δύο παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις καὶ Λειαν καὶ τὰ παιδία αὐτῆς ὀπίσω καὶ Ραχηλ καὶ Ιωσηφ ἐσχάτους.

٣وَأَمَّا هُوَ فَتَقَدَّمَ قُدَّامَهُمْ وَسَجَدَ عَلَى الأَرْضِ سَبْعَ مَرَّاتٍ حَتَّى اقْتَرَبَ إِلَى أَخِيهِ.

3 αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις ἕως τοῦ ἐγγίσαι τοῦ ἀδελφοῦ αὐτοῦ.

٤فَرَكَضَ عِيسُو لِلِقَائِهِ،

4 καὶ προσέδραμεν Ησαυ εἰς συνάντησιν

αὐτῷ καὶ περιλαβὼν αὐτὸν ἐφίλησεν καὶ προσέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσαν ἀμφότεροι.

وَعَانَقَهُ، وَقَبَّلَهُ، وَوَقَعَ عَلَى عُنُقِهِ. وَبَكَيَا كِلاَهُمَا.

5 καὶ ἀναβλέψας εἶδεν τὰς γυναῖκας καὶ τὰ παιδία καὶ εἶπεν Τί ταῦτά σοί ἐστιν; ὁ δὲ εἶπεν Τὰ παιδία, οἷς ἠλέησεν ὁ θεὸς τὸν παῖδά σου.

٥ثُمَّ تَطَلَّعَ وَأَبْصَرَ النِّسَاءَ وَالأَوْلاَدَ وَقَالَ: «مَا هؤُلاَءِ مِنْكَ؟» أَمَّا هُوَ فَقَالَ: «الأَوْلاَدُ الَّذِينَ أَنْعَمَ اللهُ بِهِمْ عَلَى عَبْدِكَ».

6 καὶ προσήγγισαν αἱ παιδίσκαι καὶ τὰ τέκνα αὐτῶν καὶ προσεκύνησαν,

٦فَاقْتَرَبَتِ الْجَارِيَتَانِ وَأَوْلاَدُهُمَا وَسَجَدُوا،

7 καὶ προσήγγισεν Λεια καὶ τὰ τέκνα αὐτῆς καὶ προσεκύνησαν, καὶ μετὰ ταῦτα προσήγγισεν Ραχηλ καὶ Ιωσηφ καὶ προσεκύνησαν.

٧ثُمَّ اقْتَرَبَتْ لَيْئَةُ وَأَوْلاَدُهَا وَسَجَدُوا، وَبَعْدَ ذلِكَ اقْتَرَبَتْ رَاحِيلُ وَيُوسُفُ وَسَجَدَا.

8 καὶ εἶπεν Τί ταῦτά σοί ἐστιν, πᾶσαι αἱ παρεμβολαὶ αὗται, αἷς ἀπήντηκα; ὁ δὲ εἶπεν Ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου, κύριε.

٨فَقَالَ: «مَا هؤُلاَءِ مِنْكَ، كُلُّ هذِهِ الْفِرَقِ الَّتِي قَابَلْتُهَا؟» أَمَّا هُوَ فَقَالَ: «لِكَيْ يَجِدَ عَبْدُكَ نِعْمَةً أَمَامَكَ، يَا سَيِّدِي».

9 εἶπεν δὲ Ησαυ Ἔστιν μοι πολλά,

٩فَقَالَ عِيسُو: «لِي كَثِيرٌ

يَا أَخِي، لِيَكُنْ لَكَ الَّذِي لَكَ».

ἄδελφε· ἔστω σοι τὰ σά.

١٠فَقَالَ يَعْقُوبُ: «إِنْ كُنْتُ قَدْ وَجَدْتُ نِعْمَةً أَمَامَكَ، اقْبَلِ الْهَدَايَا مِنْ يَدَيَّ، لأَنِّي رَأَيْتُ وَجْهَكَ كَمَن يَرَى وَجْهَ اللهِ فَرَضِيتَ عَلَيَّ.

10 εἶπεν δὲ Ιακωβ Εἰ εὕρηκα χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα διὰ τῶν ἐμῶν χειρῶν· ἕνεκεν τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ, καὶ εὐδοκήσεις με·

١١خُذْ بَرَكَاتِي الَّتِي أَحْضَرْتُهَا إِلَيْكَ، لأَنَّ اللهَ قَدْ رَحِمَنِي وَلِي كُلُّ شَيْءٍ». وَغَصَبَ عَلَيْهِ فَأَخَذَ.

11 λαβὲ τὰς εὐλογίας μου, ἃς ἤνεγκά σοι, ὅτι ἠλέησέν με ὁ θεὸς καὶ ἔστιν μοι πάντα. καὶ ἐβιάσατο αὐτόν, καὶ ἔλαβεν.

١٢ثُمَّ قَالَ: «لِنَرْحَلْ وَنَذْهَبْ فِي الْحَالِ[٣٠٥]».

12 καὶ εἶπεν Ἀπάραντες πορευσόμεθα ἐπ᾽ εὐθεῖαν.

١٣فَقَالَ لَهُ: «سَيِّدِي يَعْلَمُ أَنَّ الأَوْلاَدَ رَخْصَةٌ وَالْغَنَمَ وَالْبَقَرَ الَّتِي عِنْدِي تُوشِكُ عَلَى الوِلاَدَةِ، فَإِن أَجْهَدْتُهَا يَوْماً وَاحِداً مَاتَتْ كُلُّ الْمَاشِيَةِ.

13 εἶπεν δὲ αὐτῷ Ὁ κύριός μου γινώσκει ὅτι τὰ παιδία ἁπαλώτερα καὶ τὰ πρόβατα καὶ αἱ βόες λοχεύονται ἐπ᾽ ἐμέ· ἐὰν οὖν καταδιώξω αὐτοὺς ἡμέραν μίαν, ἀποθανοῦνται πάντα τὰ κτήνη.

---

[٣٠٥] تأتي في القبطي البحيري ϩι πιⲙⲱⲓⲧ ⲉⲧⲥⲟⲩⲧⲱⲛ أي في الطريق المستقيم أو الممتد، كترجمة للكلمة اليونانية ἐπ᾽ εὐθεῖαν والتي تعني في الحال أو التو (زمنياً)، أو باستقامة (مكانياً أو معنوياً)، لكنها تأتي في القبطي الصعيدي ⲛ̄ⲥⲟⲟⲩⲧⲛ̄ بمعنى تواً أو حالاً.

١٤لِيَتَقَدَّمْ سَيِّدِي قُدَّامَ عَبْدِهِ، وَأَنَا أَتَشَدَّدُ فِي الطَّرِيقِ حَسَبَ سُهُولَةِ الرِّحْلَةِ الَّتِي قُدَّامِي وَبِقَدْرِ خُطُواتِ الأَوْلاَدِ حَتَّى أَجِيءَ إِلَى سَيِّدِي إِلَى سَعِيرَ».

14 προελθέτω ὁ κύριός μου ἔμπροσθεν τοῦ παιδός, ἐγὼ δὲ ἐνισχύσω ἐν τῇ ὁδῷ κατὰ σχολὴν τῆς πορεύσεως τῆς ἐναντίον μου καὶ κατὰ πόδα τῶν παιδαρίων ἕως τοῦ με ἐλθεῖν πρὸς τὸν κύριόν μου εἰς Σηιρ.

١٥فَقَالَ عِيسُو: «أَتْرُكُ مَعَكَ مِنَ الْقَوْمِ الَّذِينَ مَعِي». فَقَالَ: «لِمَاذَا هَذَا؟ يَكْفِي أَنَّنِي وَجَدْتُ نِعْمَةً أَمَامَكَ، يَا سَيِّدِي».

15 εἶπεν δὲ Ησαυ Καταλείψω μετὰ σοῦ ἀπὸ τοῦ λαοῦ τοῦ μετ᾽ ἐμοῦ. ὁ δὲ εἶπεν Ἵνα τί τοῦτο; ἱκανὸν ὅτι εὗρον χάριν ἐναντίον σου, κύριε.

١٦فَرَجَعَ عِيسُو فِي ذَلِكَ الْيَوْمِ فِي طَرِيقِهِ إِلَى سَعِيرَ.

16 ἀπέστρεψεν δὲ Ησαυ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὴν ὁδὸν αὐτοῦ εἰς Σηιρ.

١٧وَرَحَلَ يَعْقُوبُ إِلَى «الْمَظَلاَّتِ»[٣٠٦] وَعَمِلَ لِنَفْسِهِ هُنَاكَ بُيُوتاً، وَصَنَعَ لِمَوَاشِيهِ مَظَلاَّتٍ. لِذَلِكَ دَعَا اسْمَ ذَلِكَ الْمَكَانِ «مَظَلاَّت».

17 Καὶ Ιακωβ ἀπαίρει εἰς Σκηνάς· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ οἰκίας καὶ τοῖς κτήνεσιν αὐτοῦ ἐποίησεν σκηνάς· διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Σκηναί.

---

[٣٠٦] تأتي في النص العبري סֻכֹּתָה (سكوت) كاسم علم للمكان ومعناها: خيام أو مظلات. وتأتي في اليوناني σκηνάς بنفس المعنى.

١٨ثُمَّ أَتَى يَعْقُوبُ إِلَى سَالِيمَ[٣٠٧] مَدِينَةِ شَكِيمَ الَّتِي فِي أَرْضِ كَنْعَانَ حِينَ جَاءَ مِنْ بَيْنِ النَّهْرَيْنِ السِّرْيَانِيَّةِ. وَخَيَّمَ فِي مُوَاجَهَةِ الْمَدِينَةِ.

18 καὶ ἦλθεν Ιακωβ εἰς Σαλημ πόλιν Σικιμων, ἥ ἐστιν ἐν γῇ Χανααν, ὅτε ἦλθεν ἐκ τῆς Μεσοποταμίας Συρίας, καὶ παρενέβαλεν κατὰ πρόσωπον τῆς πόλεως.

١٩وَابْتَاعَ قِطْعَةً مِنَ الْحَقْلِ، حَيْثُ نَصَبَ هُنَاكَ خَيْمَتَهُ، مِنْ حَمُورَ أَبِي شَكِيمَ بِمِئَةِ نَعْجَةٍ[٣٠٨].

19 καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ, οὗ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ, παρὰ Εμμωρ πατρὸς Συχεμ ἑκατὸν ἀμνῶν

٢٠وَأَقَامَ هُنَاكَ مَذْبَحاً وَدَعَا إِلَهَ إِسْرَائِيلَ.

20 καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸν θεὸν Ισραηλ.

الأَصْحَاحُ الرَّابِعُ وَالثَّلاَثُونَ

١وَخَرَجَتْ دِينَةُ ابْنَةُ لَيْئَةَ الَّتِي وَلَدَتْهَا لِيَعْقُوبَ لِتَنْظُرَ بَنَاتِ أَهْلِ الْبَلْدَةِ،

1 Ἐξῆλθεν δὲ Δινα ἡ θυγάτηρ Λειας, ἣν ἔτεκεν τῷ Ιακωβ, καταμαθεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων.

٢فَرَآهَا شَكِيمُ ابْنُ حَمُورَ

2 καὶ εἶδεν αὐτὴν Συχεμ ὁ υἱὸς Εμμωρ ὁ

---

[٣٠٧] تأتي في النص العبري שָׁלֵם (شالم) بمعنى سالماً، ولكنها تُرجمت في اليونانية والقبطية كاسم علم: ساليم.

[٣٠٨] تأتي في النص العبري קְשִׂיטָה (قسيطة) وهي عملة غير معروف قيمتها. وتأتي في القبطي البحيري والصعيدي: شاة أو نعجة.

الْحُورِيِّ رَئِيسِ الأَرْضِ وَأَخَذَهَا وَاضْطَجَعَ مَعَهَا وَأَذَلَّهَا.

Χορραῖος ὁ ἄρχων τῆς γῆς καὶ λαβὼν αὐτὴν ἐκοιμήθη μετ᾽ αὐτῆς καὶ ἐταπείνωσεν αὐτήν.

[٣] وَتَعَلَّقَ بِنَفْسِ دِينَةَ ابْنَةِ يَعْقُوبَ وَأَحَبَّ الْفَتَاةَ، وَتَكَلَّمَ مَعَ الْفَتَاةِ بِحَسَبِ فِكْرِهَا.

3 καὶ προσέσχεν τῇ ψυχῇ Δινας τῆς θυγατρὸς Ιακωβ καὶ ἠγάπησεν τὴν παρθένον καὶ ἐλάλησεν κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ.

[٤] وَكَلَّمَ شَكِيمُ حَمُورَ أَبَاهُ قَائِلاً: «خُذْ لِي هَذِهِ الصَّبِيَّةَ زَوْجَةً».

4 εἶπεν δὲ Συχεμ πρὸς Εμμωρ τὸν πατέρα αὐτοῦ λέγων Λαβέ μοι τὴν παιδίσκην ταύτην εἰς γυναῖκα.

[٥] وَسَمِعَ يَعْقُوبُ أَنَّ ابْنَ حَمُورَ نَجَّسَ دِينَةَ ابْنَتَهُ. وَأَمَّا بَنُوهُ فَكَانُوا مَعَ مَوَاشِيهِ فِي السَّهْلِ، فَسَكَتَ يَعْقُوبُ حَتَّى جَاءُوا.

5 Ιακωβ δὲ ἤκουσεν ὅτι ἐμίανεν ὁ υἱὸς Εμμωρ Διναν τὴν θυγατέρα αὐτοῦ· οἱ δὲ υἱοὶ αὐτοῦ ἦσαν μετὰ τῶν κτηνῶν αὐτοῦ ἐν τῷ πεδίῳ, παρεσιώπησεν δὲ Ιακωβ ἕως τοῦ ἐλθεῖν αὐτούς.

[٦] فَخَرَجَ حَمُورُ أَبُو شَكِيمَ إِلَى يَعْقُوبَ لِيَتَكَلَّمَ مَعَهُ.

6 ἐξῆλθεν δὲ Εμμωρ ὁ πατὴρ Συχεμ πρὸς Ιακωβ λαλῆσαι αὐτῷ.

[٧] وَأَتَى بَنُو يَعْقُوبَ مِنَ السَّهْلِ، وَحِينَ سَمِعُوا،

7 οἱ δὲ υἱοὶ Ιακωβ ἦλθον ἐκ τοῦ πεδίου· ὡς δὲ ἤκουσαν, κατενύχθησαν οἱ ἄνδρες,

نُخس[٣٠٩] الرِّجَالُ وَكَانَ لَهُمْ حُزْنٌ شَدِيدٌ جدّاً، لأَنَّهُ صَنَعَ قَبَاحَة فِي إِسْرَائِيلَ إِذْ ضَاجَعَ ابْنَةَ يَعْقُوبَ، وَهَكَذَا لاَ يَكُونُ.	καὶ λυπηρὸν ἦν αὐτοῖς σφόδρα ὅτι ἄσχημον ἐποίησεν ἐν Ισραηλ κοιμηθεὶς μετὰ τῆς θυγατρὸς Ιακωβ, καὶ οὐχ οὕτως ἔσται.
٨وَكَلَّمَهُمْ حَمُورُ قَائلاً: «شَكِيمُ ابْنِي قَدْ اخْتَارَ فِي نَفْسه ابْنَتَكُمْ. فَأَعْطُوهُ إِيَّاهَا زَوْجَةً،	8 καὶ ἐλάλησεν Εμμωρ αὐτοῖς λέγων Συχεμ ὁ υἱός μου προείλατο τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν· δότε οὖν αὐτὴν αὐτῷ γυναῖκα.
٩وَصَاهِرُونَا. أَعْطُونَا بَنَاتِكُمْ وَخُذُوا بَنَاتِنَا لِبَنِيكُم،	9 ἐπιγαμβρεύσασθε ἡμῖν· τὰς θυγατέρας ὑμῶν δότε ἡμῖν καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν.
١٠وَتَسْكُنُونَ بَيْنَنَا وَهُوذَا الأَرْضُ وَاسِعَةٌ قُدَّامَكُمْ. اسْكُنُوا وَتَاجِرُوا عَلَيْهَا وَتَمَلَّكُوا فِيهَا».	10 καὶ ἐν ἡμῖν κατοικεῖτε, καὶ ἡ γῆ ἰδοὺ πλατεῖα ἐναντίον ὑμῶν· κατοικεῖτε καὶ ἐμπορεύεσθε ἐπ᾽ αὐτῆς καὶ ἐγκτήσασθε ἐν αὐτῇ.
١١ثُمَّ قَالَ شَكِيمُ لأَبِيهَا وَلإِخْوَتِهَا: «فَلأَجِدْ نِعْمَةً	11 εἶπεν δὲ Συχεμ πρὸς τὸν πατέρα αὐτῆς καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτῆς Εὕροιμι

[٣٠٩] الفعل اليوناني κατανύσσομαι يعني أنه نُخِس أو طُعن أو انذهل أو تألم داخلياً، وهو نفس الفعل الذي جاء في سفر الأعمال: «فلما سمعوا نُخسوا في قلوبهم» (أع ٢: ٣٧).

أَمَامَكُمْ. فَمَهْمَا تَقُولُونَ نُعْطِي.

χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν εἴπητε, δώσομεν.

١٢كَثِّرُوا عَلَيَّ جِدًّا الْمَهْرَ فَسَأُعْطِيَ، بِحَسَبِ مَا تَقُولُونَ لِي، وَأَعْطُونِي هَذِهِ الْفَتَاةَ زَوْجَةً».

12 πληθύνατε τὴν φερνὴν σφόδρα, καὶ δώσω, καθότι ἂν εἴπητέ μοι, καὶ δώσετέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα.

١٣فَأَجَابَ بَنُو يَعْقُوبَ شَكِيمَ وَحَمُورَ أَبَاهُ بِمَكْرٍ وَتَكَلَّمُوا مَعَهُمَا، لأَنَّهُ كَانَ قَدْ نَجَّسَ دِينَةَ أُخْتَهُمْ،

13 ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Ιακωβ τῷ Συχεμ καὶ Εμμωρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου καὶ ἐλάλησαν αὐτοῖς, ὅτι ἐμίαναν Διναν τὴν ἀδελφὴν αὐτῶν,

١٤وَقَالَ لَهُمَا شَمْعُونَ وَلَاوِي أَخَوَا دِينَةَ وَابْنَا لَيْئَةَ[٢١٠]: «لَا نَسْتَطِيعُ أَنْ نَفْعَلَ هَذَا الأَمْرَ أَنْ نُعْطِيَ أُخْتَنَا لِرَجُلٍ ذِي غُلْفَةٍ، لأَنَّهُ عَارٌ لَنَا.

14 καὶ εἶπαν αὐτοῖς Συμεων καὶ Λευι οἱ ἀδελφοὶ Δινας υἱοὶ δὲ Λειας Οὐ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν ἀδελφὴν ἡμῶν ἀνθρώπῳ, ὃς ἔχει ἀκροβυστίαν· ἔστιν γὰρ ὄνειδος ἡμῖν.

١٥غَيْرَ أَنَّنَا بِهَذَا نُشْبِهُكُمْ وَنَسْكُنُ بَيْنَكُمْ، إِنْ صِرْتُمْ مِثْلَنَا بِأَنْ تَخْتِنُوا كُلَّ ذَكَرٍ

15 ἐν τούτῳ ὁμοιωθησόμεθα ὑμῖν καὶ κατοικήσομεν ἐν ὑμῖν, ἐὰν γένησθε ὡς ἡμεῖς καὶ ὑμεῖς ἐν τῷ περιτμηθῆναι ὑμῶν

[٢١٠] تأتي في النص العبري: «وقالوا لهما»، دون بقية الجملة، لكنها هكذا تأتي في الترجمات اليونانية والقبطية البحيرية والصعيدية.

مِنْكُمْ.

πᾶν ἀρσενικόν,

١٦فَنُعْطِيكُمْ بَنَاتِنَا وَنَأْخُذُ لَنَا مِنْ بَنَاتِكُمْ زَوْجَاتٍ وَنَسْكُنُ مَعَكُمْ وَنَصِيرُ كَجِنْسٍ وَاحِدٍ.

16 καὶ δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν λημψόμεθα ἡμῖν γυναῖκας καὶ οἰκήσομεν παρ᾽ ὑμῖν καὶ ἐσόμεθα ὡς γένος ἕν.

١٧وَإِنْ لَمْ تَسْمَعُوا لَنَا أَنْ تَخْتَتِنُوا نَأْخُذُ بَنَاتِنَا وَنَمْضِي».

17 ἐὰν δὲ μὴ εἰσακούσητε ἡμῶν τοῦ περιτέμνεσθαι, λαβόντες τὰς θυγατέρας ἡμῶν ἀπελευσόμεθα.

١٨فَحَسُنَ الْكَلاَمُ أَمَامَ حَمُورَ وَأَمَامَ شَكِيمَ بْنِ حَمُورَ.

18 καὶ ἤρεσαν οἱ λόγοι ἐναντίον Εμμωρ καὶ ἐναντίον Συχεμ τοῦ υἱοῦ Εμμωρ.

١٩وَلَمْ يَتَأَخَّرِ الشَّابُّ أَنْ يَفْعَلَ هذَا الأَمْرَ، لأَنَّهُ كَانَ شَغُوفًا بِابْنَةِ يَعْقُوبَ. وَكَانَ هُوَ أَكْرَمَ جَمِيعِ مَنْ فِي بَيْتِ أَبِيهِ.

19 καὶ οὐκ ἐχρόνισεν ὁ νεανίσκος τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο· ἐνέκειτο γὰρ τῇ θυγατρὶ Ιακωβ· αὐτὸς δὲ ἦν ἐνδοξότατος πάντων τῶν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.

٢٠فَأَتَى حَمُورُ وَشَكِيمُ ابْنُهُ إِلَى بَابِ مَدِينَتِهِمَا وَتَكَلَّمَا مَعَ رِجَالِ مَدِينَتِهِمَا وَقَالاَ:

20 ἦλθεν δὲ Εμμωρ καὶ Συχεμ ὁ υἱὸς αὐτοῦ πρὸς τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ ἐλάλησαν πρὸς τοὺς ἄνδρας τῆς πόλεως αὐτῶν λέγοντες

21 Οἱ ἄνθρωποι οὗτοι εἰρηνικοί εἰσιν μεθ᾽ ἡμῶν· οἰκείτωσαν ἐπὶ τῆς γῆς καὶ ἐμπορευέσθωσαν αὐτήν, ἡ δὲ γῆ ἰδοὺ πλατεῖα ἐναντίον αὐτῶν. τὰς θυγατέρας αὐτῶν λημψόμεθα ἡμῖν γυναῖκας καὶ τὰς θυγατέρας ἡμῶν δώσομεν αὐτοῖς.

٢١«هَؤُلاَءِ الرِّجَالُ مُسَالِمُونَ لَنَا. فَلْيَسْكُنُوا فِي الأَرْضِ وَلْيَتَاجِرُوا فِيهَا. وَهُوَذَا الأَرْضُ وَاسِعَةٌ أَمَامَهُمْ. نَأْخُذُ لَنَا بَنَاتِهِمْ زَوْجَاتٍ وَنُعْطِيهِمْ بَنَاتِنَا.

22 μόνον ἐν τούτῳ ὁμοιωθήσονται ἡμῖν οἱ ἄνθρωποι τοῦ κατοικεῖν μεθ᾽ ἡμῶν ὥστε εἶναι λαὸν ἕνα, ἐν τῷ περιτέμνεσθαι ἡμῶν πᾶν ἀρσενικόν, καθὰ καὶ αὐτοὶ περιτέτμηνται.

٢٢بِهَذَا فَقَطْ يُشْبِهُنَا الرِّجَالُ لِيَسْكُنُوا مَعَنَا لِنَصِيرَ شَعْباً وَاحِداً: بِخَتْنِنَا كُلَّ ذَكَرٍ مِنَّا كَمَا هُمْ مَخْتُونُونَ.

23 καὶ τὰ κτήνη αὐτῶν καὶ τὰ ὑπάρχοντα αὐτῶν καὶ τὰ τετράποδα οὐχ ἡμῶν ἔσται; μόνον ἐν τούτῳ ὁμοιωθῶμεν αὐτοῖς, καὶ οἰκήσουσιν μεθ᾽ ἡμῶν.

٢٣أَلاَ تَكُونُ مَوَاشِيهِمْ وَمُقْتَنَاهُمْ وَبَهَائِمُهُمْ لَنَا؟ بِهَذَا فَقَطْ فَلْنُشَابِهِهُمْ فَيَسْكُنُونَ مَعَنَا».

24 καὶ εἰσήκουσαν Εμμωρ καὶ Συχεμ τοῦ υἱοῦ αὐτοῦ πάντες οἱ ἐκπορευόμενοι τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ περιετέμοντο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτῶν, πᾶς ἄρσην.

٢٤فَسَمِعَ لِحَمُورَ وَشَكِيمَ ابْنِهِ جَمِيعُ الْخَارِجِينَ مِنْ بَابِ مَدِينَتِهِمْ. وَخَتَنَ كُلَّ ذَكَرٍ مِنْهُم لَحْمَ غُرْلَتِهِ.

25 ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ, ἔλαβον οἱ δύο υἱοὶ Ιακωβ Συμεων καὶ Λευι οἱ ἀδελφοὶ Δινας ἕκαστος τὴν μάχαιραν αὐτοῦ καὶ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν·

٢٥فَحَدَثَ فِي الْيَوْمِ الثَّالِثِ إِذْ كَانُوا مُتَوَجِّعِينَ، أَنَّ ابْنَيْ يَعْقُوبَ شِمْعُونَ وَلاَوِيَ أَخَوَيْ دِينَةَ أَخَذَا كُلُّ وَاحِدٍ سَيْفَهُ وَدَخَلاَ الْمَدِينَةَ بِأَمَانٍ وَقَتَلاَ كُلَّ ذَكَرٍ.

26 τόν τε Εμμωρ καὶ Συχεμ τὸν υἱὸν αὐτοῦ ἀπέκτειναν ἐν στόματι μαχαίρας καὶ ἔλαβον τὴν Διναν ἐκ τοῦ οἴκου τοῦ Συχεμ καὶ ἐξῆλθον.

٢٦وَقَتَلاَ حَمُورَ وَشَكِيمَ ابْنَهُ بِحَدِّ السَّيْفِ وَأَخَذَا دِينَةَ مِنْ بَيْتِ شَكِيمَ وَخَرَجَا.

27 οἱ δὲ υἱοὶ Ιακωβ εἰσῆλθον ἐπὶ τοὺς τραυματίας καὶ διήρπασαν τὴν πόλιν, ἐν ᾗ ἐμίαναν Διναν τὴν ἀδελφὴν αὐτῶν,

٢٧ثُمَّ أَتَى بَنُو يَعْقُوبَ عَلَى الْجَرْحَى وَنَهَبُوا الْمَدِينَةَ الَّتِي نَجَّسُوا فِيهَا أُخْتَهُمْ.

28 καὶ τὰ πρόβατα αὐτῶν καὶ τοὺς βόας αὐτῶν καὶ τοὺς ὄνους αὐτῶν, ὅσα τε ἦν ἐν τῇ πόλει καὶ ὅσα ἦν ἐν τῷ πεδίῳ, ἔλαβον.

٢٨وَأَخَذُوا غَنَمَهُمْ وَبَقَرَهُمْ وَحَمِيرَهُمْ، كُلَّ مَا كَانَ فِي الْمَدِينَةِ وَكُلَّ مَا كَانَ فِي السَّهْلِ.

29 καὶ πάντα τὰ σώματα αὐτῶν καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν καὶ τὰς γυναῖκας αὐτῶν ᾐχμαλώτευσαν, καὶ

٢٩وَسَبَوْا كُلَّ شَخْصٍ مِنْهُم وَكُلَّ أَمْتِعَتِهِمْ وَنِسَاءَهُمْ، وَنَهَبُوا كُلَّ مَا كَانَ فِي

الْمَدِينَة وَكُلَّ مَا كَانَ فِي الْبُيُوت.	διήρπασαν ὅσα τε ἦν ἐν τῇ πόλει καὶ ὅσα ἦν ἐν ταῖς οἰκίαις.
٣٠فَقَالَ يَعْقُوبُ لِشَمْعُونَ وَلاَوِي: «قَدْ جَعَلْتُمَانِي مَكْرُوهاً حَتَّى صِرْتُ شِرِّيراً عِنْدَ جَمِيعِ سُكَّان الأَرْض، بَيْنَ الْكَنْعَانِيِّينَ وَالْفرزِيِّينَ، وَأَنَا قَلِيلُ الْعَدَد. فَيَجْتَمِعُونَ عَلَيَّ وَيُقَطِّعُونَنِي فَأُمْحَى أَنَا وَبَيْتِي».	30 εἶπεν δὲ Ιακωβ Συμεων καὶ Λευι Μισητόν με πεποιήκατε ὥστε πονηρόν με εἶναι πᾶσιν τοῖς κατοικοῦσιν τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις καὶ τοῖς Φερεζαίοις· ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ᾽ ἐμὲ συγκόψουσίν με, καὶ ἐκτριβήσομαι ἐγὼ καὶ ὁ οἶκός μου.
٣١أَمَّا هُمَا فَقَالاَ: «لَكِنْ، أَنَظِيرَ زَانِيَةٍ يَفْعَلُونَ بِأُخْتِنَا؟».	31 οἱ δὲ εἶπαν Ἀλλ᾽ ὡσεὶ πόρνῃ χρήσωνται τῇ ἀδελφῇ ἡμῶν;

اَلأَصْحَاحُ الْخَامِسُ وَالثَّلاَثُونَ

١ثُمَّ قَالَ اللهُ لِيَعْقُوبَ: «قُمِ اصْعَدْ إِلَى مَوْضِعِ بَيْت إِيلَ وَأَقِمْ هُنَاكَ وَاصْنَعْ هُنَاكَ مَذْبَحاً للهِ الَّذِي تَرَاءَى لَكَ حِينَ هَرَبْتَ مِنْ وَجْهِ عِيسُو أَخِيكَ».	1 Εἶπεν δὲ ὁ θεὸς πρὸς Ιακωβ Ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθηλ καὶ οἴκει ἐκεῖ καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ θεῷ τῷ ὀφθέντι σοι ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ησαυ τοῦ ἀδελφοῦ σου.

٢فَقَالَ يَعْقُوبُ لِبَيْتِهِ وَلِكُلِّ الَّذِينَ مَعَهُ: «ارْفَعُوا الآلِهَةَ الْغَرِيبَةَ الَّتِي مَعَكُمْ مِنْ وَسَطِكُمْ، وَتَطَهَّرُوا وَأَبْدِلُوا ثِيَابَكُمْ.

2 εἶπεν δὲ Ιακωβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσιν τοῖς μετ᾽ αὐτοῦ Ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ᾽ ὑμῶν ἐκ μέσου ὑμῶν καὶ καθαρίσασθε καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν,

٣وَلْنَقُمْ وَنَصْعَدْ إِلَى بَيْتِ إِيلَ فَنَصْنَعَ هُنَاكَ مَذْبَحاً للهِ الَّذِي اسْتَجَابَ لِي فِي يَوْمِ ضِيقَتِي، وَكَانَ مَعِي وَنَجَّانِي فِي الطَّرِيقِ الَّتِي ذَهَبْتُ فِيهَا».

3 καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθηλ καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ θεῷ τῷ ἐπακούσαντί μοι ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ᾽ ἐμοῦ καὶ διέσωσέν με ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθην.

٤فَأَعْطَوا لِيَعْقُوبَ الآلِهَةَ الْغَرِيبَةَ الَّتِي كَانَتْ فِي أَيْدِيهِمْ وَالأَقْرَاطَ الَّتِي فِي آذَانِهِمْ، فَطَمَرَهَا يَعْقُوبُ تَحْتَ الْبُطْمَةِ الَّتِي فِي شَكِيمَ، وَأَبَادَهَا حَتَّى هَذَا الْيَوْمِ[٣١١].

4 καὶ ἔδωκαν τῷ Ιακωβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ κατέκρυψεν αὐτὰ Ιακωβ ὑπὸ τὴν τερέμινθον τὴν ἐν Σικιμοις καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας.

٥ثُمَّ رَحَلَ إِسْرَائِيلُ مِنْ شَكِيمَ. وَكَانَ خَوْفُ اللهِ عَلَى الْمُدُنِ الَّتِي حَوْلَهُمْ فَلَمْ يَسْعُوا

5 καὶ ἐξῆρεν Ισραηλ ἐκ Σικιμων, καὶ ἐγένετο φόβος θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω

---

[٣١١] لا تأتي هذه العبارة الأخيرة في النص العبري، لكنها تأتي في الترجمتين اليونانية والقبطية.

وَرَاءَ بَنِي إِسْرَائِيلَ.	τῶν υἱῶν Ισραηλ.
٦فَأَتَى يَعْقُوبُ إِلَى لُوزَ الَّتِي فِي أَرْضِ كَنْعَانَ، الَّتِي هِيَ بَيْتُ إِيلَ، هُوَ وَجَمِيعُ الشَّعْبِ الَّذِي كَانَ مَعَهُ.	6 ἦλθεν δὲ Ιακωβ εἰς Λουζα, ἥ ἐστιν ἐν γῇ Χανααν, ἥ ἐστιν Βαιθηλ, αὐτὸς καὶ πᾶς ὁ λαός, ὃς ἦν μετ᾽ αὐτοῦ.
٧وَبَنَى هُنَاكَ مَذْبَحاً وَدَعَا اسْمَ الْمَكَانِ «بَيْتَ إِيلَ»[٣١٢]، لأَنَّهُ هُنَاكَ ظَهَرَ لَهُ اللهُ حِينَ هَرَبَ مِنْ وَجْهِ عِيسُو أَخِيهِ.	7 καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον καὶ ἐκάλεσεν τὸ ὄνομα τοῦ τόπου Βαιθηλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ησαυ τοῦ ἀδελφοῦ αὐτοῦ.
٨وَمَاتَتْ دَبُورَةُ مُرْضِعَةُ رِفْقَةَ (وَدُفِنَتْ) أَسْفَلَ بَيْت إِيلَ تَحْتَ الْبَلُّوطَةِ، فَدَعَا يَعْقُوبُ اسْمَهَا «بَلُّوطَةَ الْحُزْنِ»[٣١٣].	8 ἀπέθανεν δὲ Δεββωρα ἡ τροφὸς Ρεβεκκας κατώτερον Βαιθηλ ὑπὸ τὴν βάλανον, καὶ ἐκάλεσεν Ιακωβ τὸ ὄνομα αὐτῆς Βάλανος πένθους.
٩وَتَرَاءَى اللهُ لِيَعْقُوبَ أَيْضاً فِي لُوزَ حِينَ جَاءَ مِنْ مَا بَيْنَ النَّهْرَيْنِ السِّرْيَانِيَّةِ، وَبَارَكَهُ اللهُ،	9 Ὤφθη δὲ ὁ θεὸς Ιακωβ ἔτι ἐν Λουζα, ὅτε παρεγένετο ἐκ Μεσοποταμίας τῆς Συρίας, καὶ ηὐλόγησεν αὐτὸν ὁ θεός.
١٠وَقَالَ لَهُ اللهُ: «اسْمُكَ	10 καὶ εἶπεν αὐτῷ ὁ θεός Τὸ ὄνομά σου

[٣١٢] يأتي الاسم في العبري אל בֵּית־אֵל (إيل بيت إيل)، أي إله بيت إيل أو إله بيت الله.

[٣١٣] يأتي الاسم في العبري אלוֹן בָּכוּת (ألون باكوت)، أي بلوطة البكاء، وتأتي في اليونانية Βάλανος πένθους أي بلوطة الحزن أو النحيب.

يَعْقُوبُ. لاَ يُدْعَى بَعْدُ يَعْقُوبَ، بَلْ يَكُونُ اسْمُكَ إِسْرَائِيلَ».

Ιακωβ· οὐ κληθήσεται ἔτι Ιακωβ, ἀλλ᾽ Ισραηλ ἔσται τὸ ὄνομά σου.

١١وَقَالَ لَهُ اللهُ: «أَنَا إِلَهُكَ[٣١٤]. انْمُ وَاكْثُرْ. أُمَمٌ وَجَمَاعَاتُ أُمَمٍ تَكُونُ مِنْكَ. وَمُلُوكٌ سَيَخْرُجُونَ مِنْ صُلْبِكَ.

11 εἶπεν δὲ αὐτῷ ὁ θεός Ἐγὼ ὁ θεός σου· αὐξάνου καὶ πληθύνου· ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται.

١٢وَالأَرْضُ الَّتِي أَعْطَيْتُ إِبْرَاهِيمَ وَإِسْحَاقَ، لَكَ قَدْ أَعْطَيْتُهَا، لَكَ تَكُونُ، وَلِنَسْلِكَ مِنْ بَعْدِكَ أُعْطِي هَذِهِ الأَرْضَ».

12 καὶ τὴν γῆν, ἣν δέδωκα Αβρααμ καὶ Ισαακ, σοὶ δέδωκα αὐτήν· σοὶ ἔσται, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην.

١٣ثُمَّ صَعِدَ اللهُ عَنْهُ فِي الْمَكَانِ الَّذِي فِيهِ تَكَلَّمَ مَعَهُ،

13 ἀνέβη δὲ ὁ θεὸς ἀπ᾽ αὐτοῦ ἐκ τοῦ τόπου, οὗ ἐλάλησεν μετ᾽ αὐ τοῦ.

١٤فَأَقَامَ يَعْقُوبُ عَمُوداً فِي الْمَكَانِ الَّذِي فِيهِ تَكَلَّمَ مَعَهُ، عَمُوداً مِنْ حَجَرٍ، وَسَكَبَ

14 καὶ ἔστησεν Ιακωβ στήλην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησεν μετ᾽ αὐτοῦ, στήλην λιθίνην, καὶ ἔσπεισεν ἐπ᾽ αὐτὴν σπονδὴν καὶ

---

[٣١٤] تأتي في النص العبري: אֵל שַׁדַּי (إيل شداي) أي الله القدير، ويقابلها في اليوناني والقبطي: إلهي (على فم اسحق أو يعقوب) أو إلهك (على فم الله) انظر (تك ٢٨: ٣؛ ٣٥: ١١، ٤٣: ١٤؛ ٤٩: ٢٥).

عَلَيْهِ سَكِيباً وَصَبَّ عَلَيْهِ زَيْتاً،

ἐπέχεεν ἐπ᾿ αὐτὴν ἔλαιον.

١٥وَدَعَا يَعْقُوبُ اسْمَ الْمَكَانِ الَّذِي فِيهِ تَكَلَّمَ اللهُ هُنَاكَ مَعَهُ: «بَيْتَ إِيلَ».

15 καὶ ἐκάλεσεν Ιακωβ τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλάλησεν μετ᾿ αὐτοῦ ἐκεῖ ὁ θεός, Βαιθηλ.

١٦ثُمَّ رَحَلَ يَعْقُوبُ مِنْ بَيْتِ إِيلَ. وَنَصَبَ خَيْمَتَهُ وَرَاءَ بُرْجِ جَادِرَ[٣١٥]. وَحَدَثَ لَمَّا اقْتَرَبَ مِنْ كَابْرَاثَا[٣١٦] إِلَى أَرْضِ الذَّهَابِ لأَفْرَاتَةَ، وَلَدَتْ رَاحِيلُ وَتَعَسَّرَتْ وِلاَدَتُهَا.

16 Ἀπάρας δὲ Ιακωβ ἐκ Βαιθηλ ἔπηξεν τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γαδερ. ἐγένετο δὲ ἡνίκα ἤγγισεν χαβραθα εἰς γῆν ἐλθεῖν Εφραθα, ἔτεκεν Ραχηλ καὶ ἐδυστόκησεν ἐν τῷ τοκετῷ.

١٧وَحَدَثَ وَهِيَ تَلِدُ بِصُعُوبَةٍ أَنْ قَالَتِ الْقَابِلَةُ لَهَا: «تَشَجَّعِي، لأَنَّ هذَا أَيْضاً ابْنٌ لَكِ».

17 ἐγένετο δὲ ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν εἶπεν αὐτῇ ἡ μαῖα Θάρσει, καὶ γὰρ οὗτός σοί ἐστιν υἱός.

١٨وَكَانَ عِنْدَ خُرُوجِ نَفْسِهَا - لأَنَّهَا مَاتَتْ - أَنَّهَا

18 ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχήν—ἀπέθνῃσκεν γάρ—ἐκάλεσεν τὸ

---

[٣١٥] هذا العدد هو نفسه العدد ٢١ من النص العبري، وقد ذُكر في هذا الموضع في السبعينية والترجمة القبطية، وربما يكون برج جادر في السبعينية هو نفسه مجدل عدر في العبري، والذي ترجمته: برج القطيع.

[٣١٦] لا تأتي كلمة كابراتا χαβραθα (كابراتا) في النص العبري، ولكن في النص المشابه لهذا العدد (تك ٤٨: ٧) تأتي الكلمة العبرية כִּבְרַת־אֶרֶץ (كابرات إرص) بمعنى مسافة من الأرض، وقد دخلت كاسم علم في الترجمة اليونانية والقبطية.

دَعَت اسْمَهُ «ابْنَ وَجَعِي[٣١٧]». وَأَمَّا أَبُوهُ فَدَعَاهُ بِنْيَامِينَ[٣١٨].

ὄνομα αὐτοῦ Υἱὸς ὀδύνης μου· ὁ δὲ πατὴρ ἐκάλεσεν αὐτὸν Βενιαμιν.

١٩فَمَاتَتْ رَاحِيلُ وَدُفِنَتْ فِي طَرِيقِ أَفْرَاتَةَ – الَّتِي هِيَ بَيْتُ لَحْمٍ.

19 ἀπέθανεν δὲ Ραχηλ καὶ ἐτάφη ἐν τῇ ὁδῷ Εφραθα (αὕτη ἐστὶν Βηθλεεμ).

٢٠وَأَقَامَ يَعْقُوبُ عَمُوداً عَلَى قَبْرِهَا. وَهَذَا هُوَ «عَمُودُ قَبْرِ رَاحِيلَ» إِلَى هَذَا الْيَوْمِ.

20 καὶ ἔστησεν Ιακωβ στήλην ἐπὶ τοῦ μνημείου αὐτῆς· αὕτη ἐστὶν στήλη μνημείου Ραχηλ ἕως τῆς σήμερον ἡμέρας.

٢٢وَحَدَثَ إِذْ كَانَ إِسْرَائِيلُ سَاكِناً فِي تِلْكَ الأَرْضِ، أَنَّ رَأُوبَيْنَ ذَهَبَ وَاضْطَجَعَ مَعَ بِلْهَةَ سُرِّيَّةِ أَبِيه. وَسَمِعَ إِسْرَائِيلُ. فَكَانَ ذَلِكَ قَبِيحاً أَمَامَهُ[٣١٩]. وَكَانَ بَنُو يَعْقُوبَ اثْنَيْ عَشَرَ:

22 Ἐγένετο δὲ ἡνίκα κατῴκησεν Ισραηλ ἐν τῇ γῇ ἐκείνῃ, ἐπορεύθη Ρουβην καὶ ἐκοιμήθη μετὰ Βαλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ· καὶ ἤκουσεν Ισραηλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ. Ἦσαν δὲ οἱ υἱοὶ Ιακωβ δώδεκα.

٢٣بَنُو لَيْئَةَ: رَأُوبَيْنُ بِكْرُ

23 υἱοὶ Λειας· πρωτότοκος Ιακωβ Ρουβην,

---

[٣١٧] يأتي الاسم في العبري בן־אוני (بن أوني) أي ابن حزني، ويأتي في اليونانية υἱὸς ὀδύνης μου أي ابن وجعي أو حزني.

[٣١٨] يأتي الاسم في العبري בִּנְיָמִין (بنيامين) أي ابن اليمين.

[٣١٩] لا تأتي هذه العبارة الأخيرة في النص العبري.

Συμεων, Λευι, Ιουδας, Ισσαχαρ, Ζαβουλων.	يَعْقُوبَ، وَشَمْعُونُ وَلاَوِي وَيَهُوذَا وَيَسَّاكَرُ وَزَبُولُونُ.
24 υἱοὶ δὲ Ραχηλ· Ιωσηφ καὶ Βενιαμιν.	٢٤وَابْنَا رَاحِيلَ: يُوسُفُ وَبِنْيَامِينُ.
25 υἱοὶ δὲ Βαλλας παιδίσκης Ραχηλ· Δαν καὶ Νεφθαλι.	٢٥وَابْنَا بِلْهَةَ جَارِيَةِ رَاحِيلَ: دَانُ وَنَفْتَالِي.
26 υἱοὶ δὲ Ζελφας παιδίσκης Λειας· Γαδ καὶ Ασηρ. οὗτοι υἱοὶ Ιακωβ, οἳ ἐγένοντο αὐτῷ ἐν Μεσοποταμίᾳ τῆς Συρίας	٢٦وَابْنَا زِلْفَةَ جَارِيَةِ لَيْئَةَ: جَادُ وَأَشِيرُ. هَؤُلاَءِ بَنُو يَعْقُوبَ الَّذِينَ وُلِدُوا لَهُ فِي مَا بَيْنَ النَّهْرَيْنِ السِّرْيَانِيَّةِ.
27 Ἦλθεν δὲ Ιακωβ πρὸς Ισαακ τὸν πατέρα αὐτοῦ εἰς Μαμβρη εἰς πόλιν τοῦ πεδίου (αὕτη ἐστὶν Χεβρων) ἐν γῇ Χανααν, οὗ παρῴκησεν Αβρααμ καὶ Ισαακ.	٢٧وَجَاءَ يَعْقُوبُ إِلَى إِسْحَاقَ أَبِيهِ إِلَى مَمْرَا إِلَى مَدِينَةٍ فِي السَّهْلِ - الَّتِي هِيَ حَبْرُونُ - فِي أَرْضِ كَنْعَانَ حَيْثُ تَغَرَّبَ إِبْرَاهِيمُ وَإِسْحَاقُ.
28 ἐγένοντο δὲ αἱ ἡμέραι Ισαακ, ἃς ἔζησεν, ἔτη ἑκατὸν ὀγδοήκοντα·	٢٨وَكَانَتْ أَيَّامُ إِسْحَاقَ الَّتِي عَاشَهَا مِئَةً وَثَمَانِينَ سَنَةً.
29 καὶ ἐκλιπὼν ἀπέθανεν καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ πρεσβύτερος καὶ	٢٩فَفَاضَتْ (رُوحُهُ) وَمَاتَ وَانْضَمَّ إِلَى قَوْمِهِ شَيْخاً

وَشَبْعَانَ أَيَّاماً وَدَفَنَهُ عِيسُو وَيَعْقُوبُ ابْنَاهُ.	πλήρης ἡμερῶν, καὶ ἔθαψαν αὐτὸν Ησαυ καὶ Ιακωβ οἱ υἱοὶ αὐτοῦ.

اَلأَصْحَاحُ السَّادِسُ وَالثَّلاَثُونَ

١وَهَذِهِ مَوَالِيدُ عِيسُو الَّذِي هُوَ أَدُومُ:	1 Αὗται δὲ αἱ γενέσεις Ησαυ (αὐτός ἐστιν Εδωμ)·
٢أَخَذَ عِيسُو نِسَاءً لِنَفْسِهِ مِنْ بَنَاتِ الْكَنْعَانِيِّينَ: عَدَا بِنْتَ إِيلُونَ الْحِثِّيِّ وَأُهُولِيبَامَةَ بِنْتَ عَنَى بْنَ[٣٢٠] صِبْعُونَ الْحِوِّيِّ	2 Ησαυ δὲ ἔλαβεν γυναῖκας ἑαυτῷ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, τὴν Αδα θυγατέρα Αιλων τοῦ Χετταίου καὶ τὴν Ελιβεμα θυγατέρα Ανα τοῦ υἱοῦ Σεβεγων τοῦ Ευαίου
٣وَبَسْمَةَ بِنْتَ إِسْمَاعِيلَ أُخْتَ نَبَايُوتَ.	3 καὶ τὴν Βασεμμαθ θυγατέρα Ισμαηλ ἀδελφὴν Ναβαιωθ.
٤فَوَلَدَتْ عَدَا لِعِيسُو أَلِيفَازَ[٣٢١]، وَوَلَدَتْ بَسْمَةُ رَعُوئِيلَ،	4 ἔτεκεν δὲ Αδα τῷ Ησαυ τὸν Ελιφας, καὶ Βασεμμαθ ἔτεκεν τὸν Ραγουηλ,
٥وَوَلَدَتْ أُهُولِيبَامَةُ: يَعُوشَ	5 καὶ Ελιβεμα ἔτεκεν τὸν Ιεους καὶ τὸν

[٣٢٠] تأتي في العبري: بنت صبعون.

[٣٢١] هناك اختلاف في كتابة بعض الأسماء بين العبري واليوناني، وقد أبقينا على الأسماء كما جاءت في العبري لتشابهها في النطق مع اللغة العربية، وهذا سينطبق على الأسماء في كل هذا الأصحاح.

Ιεγλομ καὶ τὸν Κορε· οὗτοι υἱοὶ Ησαυ, οἳ ἐγένοντο αὐτῷ ἐν γῇ Χανααν.	وَيَعْلاَمَ وَقُورَحَ. هَؤُلاَءِ بَنُو عِيسُو الَّذِينَ وُلِدُوا لَهُ فِي أَرْضِ كَنْعَانَ.
6 ἔλαβεν δὲ Ησαυ τὰς γυναῖκας αὐτοῦ καὶ τοὺς υἱοὺς καὶ τὰς θυγατέρας καὶ πάντα τὰ σώματα τοῦ οἴκου αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα καὶ πάντα τὰ κτήνη καὶ πάντα, ὅσα ἐκτήσατο καὶ ὅσα περιεποιήσατο ἐν γῇ Χανααν, καὶ ἐπορεύθη ἐκ γῆς Χανααν ἀπὸ προσώπου Ιακωβ τοῦ ἀδελφοῦ αὐτοῦ·	٦ثُمَّ أَخَذَ عِيسُو نِسَاءَهُ وَبَنِيهِ وَبَنَاتِه وَجَمِيعَ نُفُوسِ[٣٢٢] بَيْتِه، وَكُلَّ مُمْتَلَكَاته، وَكُلَّ مَوَاشِيه، وَكُلَّ مَا امْتَلَكَهُ وَكُلَّ مَا اقْتَنَاهُ فِي أَرْضِ كَنْعَانَ، وَمَضَى مِنْ أَرْضِ كَنْعَانَ مِنْ وَجْهِ يَعْقُوبَ أَخِيه،
7 ἦν γὰρ αὐτῶν τὰ ὑπάρχοντα πολλὰ τοῦ οἰκεῖν ἅμα, καὶ οὐκ ἐδύνατο ἡ γῆ τῆς παροικήσεως αὐτῶν φέρειν αὐτοὺς ἀπὸ τοῦ πλήθους τῶν ὑπαρχόντων αὐτῶν.	٧لأَنَّ أَمْلاَكَهُمَا كَانَتْ كَثِيرَةً عَلَى السُّكْنَى مَعاً، وَلَمْ تَسْتَطِعْ أَرْضُ غُرْبَتِهِمَا أَنْ تَحْمِلَهُمَا مِنْ أَجْلِ كَثْرَةِ أَمْلاَكِهِمَا.
8 ᾤκησεν δὲ Ησαυ ἐν τῷ ὄρει Σηιρ (Ησαυ αὐτός ἐστιν Εδωμ).	٨فَسَكَنَ عِيسُو فِي جَبَلِ سَعِيرَ، وَعِيسُو نَفْسُهُ هُوَ أَدُومُ.

[٣٢٢] تأتي في اليونانية σώματα بمعنى أجساد، وعادة عندما تأتي في الجمع يُقصد بها العبيد والإماء.

٩وَهَذِهِ مَوَالِيدُ عِيسُو أَبِي أَدُومَ[٣٢٣] فِي جَبَلِ سَعِيرَ.

9 Αὗται δὲ αἱ γενέσεις Ησαυ πατρὸς Εδωμ ἐν τῷ ὄρει Σηιρ,

١٠وَهَذِهِ أَسْمَاءُ بَنِي عِيسُو: أَلِيفَازُ ابْنُ عَدَا امْرَأَةِ عِيسُو وَرَعُوئِيلُ ابْنُ بَسْمَةَ امْرَأَةِ عِيسُو.

10 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ησαυ· Ελιφας υἱὸς Αδας γυναικὸς Ησαυ καὶ Ραγουηλ υἱὸς Βασεμμαθ γυναικὸς Ησαυ.

١١وَكَانَ بَنُو أَلِيفَازَ: تَيْمَانَ وَأُومَارَ وَصَفُواً وَجَعْثَامَ وَقَنَازَ.

11 ἐγένοντο δὲ υἱοὶ Ελιφας· Θαιμαν, Ωμαρ, Σωφαρ, Γοθομ καὶ Κενεζ·

١٢وَكَانَتْ تِمْنَاعُ سُرِّيَّةً لأَلِيفَازَ بْنِ عِيسُو فَوَلَدَتْ لأَلِيفَازَ عَمَالِيقَ[٣٢٤]. هَؤُلاَءِ بَنُو عَدَا امْرَأَةِ عِيسُو.

12 Θαμνα δὲ ἦν παλλακὴ Ελιφας τοῦ υἱοῦ Ησαυ καὶ ἔτεκεν τῷ Ελιφας τὸν Αμαληκ· οὗτοι υἱοὶ Αδας γυναικὸς Ησαυ.

١٣وَهَؤُلاَءِ بَنُو رَعُوئِيلَ: نَحَثُ وَزَارَحُ وَشَمَّةُ وَمِزَّةُ. هَؤُلاَءِ كَانُوا بَنِي بَسْمَةَ امْرَأَةِ عِيسُو.

13 οὗτοι δὲ υἱοὶ Ραγουηλ· Ναχοθ, Ζαρε, Σομε καὶ Μοζε· οὗτοι ἦσαν υἱοὶ Βασεμμαθ γυναικὸς Ησαυ.

١٤وَهَؤُلاَءِ كَانُوا بَنِي أُهُولِيبَامَةَ بِنْتِ عَنَى بْنَ

14 οὗτοι δὲ ἦσαν υἱοὶ Ελιβεμας θυγατρὸς Ανα τοῦ υἱοῦ Σεβεγων, γυναικὸς Ησαυ·

---

[٣٢٣] يُقصد بهذه العبارة: أبي شعب أدوم، وكذلك في العدد ٤٣، لأنه سبق أن قال إن عيسو هو نفسه أدوم.

[٣٢٤] عماليق هنا اسم شخص، وتأتي في العبري אֶת־עֲמָלֵק (إت عماليق)، وفي اليوناني Αμαληκ (أماليك) وفي القبطي البحيري ⲙ̀ⲡⲓⲁ̀ⲙⲁⲗⲏⲕ.

صِبْعُونَ امْرَأَةِ عِيسُو: وَلَدَتْ لِعِيسُو يَعُوشَ وَيَعْلاَمَ وَقُورَحَ.

ἔτεκεν δὲ τῷ Ησαυ τὸν Ιεους καὶ τὸν Ιεγλομ καὶ τὸν Κορε.

١٥هَؤُلاَءِ هُم الأُمَرَاءُ[٣٢٥] بَنُو عِيسُو: بَنُو أَلِيفَازَ بِكْرِ عِيسُو أَمِيرُ تَيْمَانَ وَأَمِيرُ أُومَارَ وَأَمِيرُ صَفْو وَأَمِيرُ قَنَازَ

15 οὗτοι ἡγεμόνες υἱοὶ Ησαυ· υἱοὶ Ελιφας πρωτοτόκου Ησαυ· ἡγεμὼν Θαιμαν, ἡγεμὼν Ωμαρ, ἡγεμὼν Σωφαρ, ἡγεμὼν Κενεζ,

١٦وَأَمِيرُ قُورَحَ وَأَمِيرُ جَعْثَامَ وَأَمِيرُ عَمَالِيقَ. هَؤُلاَءِ أُمَرَاءُ أَلِيفَازَ فِي أَرْضِ أَدُومَ[٣٢٦]. هَؤُلاَءِ بَنُو عَدَا.

16 ἡγεμὼν Κορε, ἡγεμὼν Γοθομ, ἡγεμὼν Αμαληκ· οὗτοι ἡγεμόνες Ελιφας ἐν γῇ Ιδουμαίᾳ· οὗτοι υἱοὶ Αδας.

١٧وَهَؤُلاَءِ بَنُو رَعُوئِيلَ بْنِ عِيسُو: أَمِيرُ نَحَثَ وَأَمِيرُ زَارَحَ وَأَمِيرُ شَمَّةَ وَأَمِيرُ مِزَّةَ. هَؤُلاَءِ أُمَرَاءُ رَعُوئِيلَ فِي أَرْضِ أَدُومَ. هَؤُلاَءِ بَنُو بَسْمَةَ امْرَأَةِ عِيسُو.

17 καὶ οὗτοι υἱοὶ Ραγουηλ υἱοῦ Ησαυ· ἡγεμὼν Ναχοθ, ἡγεμὼν Ζαρε, ἡγεμὼν Σομε, ἡγεμὼν Μοζε· οὗτοι ἡγεμόνες Ραγουηλ ἐν γῇ Εδωμ· οὗτοι υἱοὶ Βασεμμαθ γυναικὸς Ησαυ.

١٨وَهَؤُلاَءِ بَنُو أُهُولِيبَامَةَ امْرَأَةِ عِيسُو: أَمِيرُ يَعُوشَ وَأَمِيرُ يَعْلاَمَ وَأَمِيرُ قُورَحَ. هَؤُلاَءِ

18 οὗτοι δὲ υἱοὶ Ελιβεμας γυναικὸς Ησαυ· ἡγεμὼν Ιεους, ἡγεμὼν Ιεγλομ, ἡγεμὼν Κορε· οὗτοι ἡγεμόνες Ελιβεμας.

---

[٣٢٥] أمراء بمعنى حكام أو رؤساء عشائر، وتأتي في العبرية אַלּוּפֵי ، وفي اليونانية ἡγεμόνες (مدبّرون أو حكام)، ومنها للقبطية ⲛⲓϩⲏⲅⲉⲙⲱⲛ.

[٣٢٦] تأتي في اليونانية Ιδουμαία أدومية، ومنها للترجمة القبطية ϯϩⲩⲇⲟⲩⲙⲉⲁ̀.

أُمَرَاءُ أُهُولِيبَامَةَ[٣٢٧].

١٩هَؤُلاَءِ بَنُو عِيسُو وَهَؤُلاَءِ أُمَرَاؤُهُمْ، هَؤُلاَءِ بَنُو أَدُومُ.

19 οὗτοι υἱοὶ Ησαυ, καὶ οὗτοι ἡγεμόνες αὐτῶν. οὗτοί εἰσιν υἱοὶ Εδωμ.

٢٠هَؤُلاَءِ بَنُو سَعِيرَ الْحُورِيِّ سُكَّانُ الأَرْضِ: لُوطَانُ وَشُوبَالُ وَصِبْعُونُ وَعَنَى

20 Οὗτοι δὲ υἱοὶ Σηιρ τοῦ Χορραίου τοῦ κατοικοῦντος τὴν γῆν· Λωταν, Σωβαλ, Σεβεγων, Ανα

٢١وَدِيشُونُ وَإِيصَرُ وَدِيشَانُ. هَؤُلاَءِ أُمَرَاءُ الْحُورِيِّينَ بَنُو سَعِيرَ فِي أَرْضِ أَدُومَ.

21 καὶ Δησων καὶ Ασαρ καὶ Ρισων· οὗτοι ἡγεμόνες τοῦ Χορραίου τοῦ υἱοῦ Σηιρ ἐν τῇ γῇ Εδωμ.

٢٢وَكَانَ ابْنَا لُوطَانَ: حُورِيَ وَهَيْمَامَ. وَكَانَتْ تِمْنَاعُ أُخْتَ لُوطَانَ.

22 ἐγένοντο δὲ υἱοὶ Λωταν· Χορρι καὶ Αιμαν· ἀδελφὴ δὲ Λωταν Θαμνα.

٢٣وَهَؤُلاَءِ بَنُو شُوبَالَ: عَلْوَانُ وَمَنَاحَةُ وَعَيْبَالُ وَشَفْوٌ وَأُونَامُ.

23 οὗτοι δὲ υἱοὶ Σωβαλ· Γωλων καὶ Μαναχαθ καὶ Γαιβηλ, Σωφ καὶ Ωμαν.

٢٤وَهَذَانِ ابْنَا صِبْعُونَ: أَيَّةُ

24 καὶ οὗτοι υἱοὶ Σεβεγων· Αιε καὶ Ωναν·

---

[٣٢٧] يكرر النص العبري هنا عبارة: بنت عني امرأة عيسو، وكذلك الترجمة القبطية البحيرية.

وَعَنَى. هَذَا هُوَ عَنَى الَّذِي وَجَدَ يَامِين[٣٢٨] فِي الْبَرِّيَّةِ، حِينَمَا كَانَ يَرْعَى حَمِيرَ صِبْعُونَ أَبِيه.

οὗτός ἐστιν ὁ Ωνας, ὃς εὗρεν τὸν Ιαμιν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμεν τὰ ὑποζύγια Σεβεγων τοῦ πατρὸς αὐτοῦ.

٢٥وَهَذَا ابْنُ عَنَى: دِيشُونُ. وَأُهُولِيبَامَةُ هِيَ بِنْتُ عَنَى.

25 οὗτοι δὲ υἱοὶ Ανα· Δησων· καὶ Ελιβεμα θυγάτηρ Ανα.

٢٦وَهَؤُلاَءِ بَنُو دِيشَانَ[٣٢٩]: حَمْدَانُ وَأَشْبَانُ وَيِثْرَانُ وَكَرَانُ.

26 οὗτοι δὲ υἱοὶ Δησων· Αμαδα καὶ Ασβαν καὶ Ιεθραν καὶ Χαρραν.

٢٧هَؤُلاَءِ بَنُو إِيصَرَ: بَلْهَانُ وَزَعْوَانُ وَيوكَانُ وَعَقَانُ.

27 οὗτοι δὲ υἱοὶ Ασαρ· Βαλααν καὶ Ζουκαμ καὶ Ιωυκαμ καὶ Ουκαν.

٢٨هَذَانِ ابْنَا دِيشَانَ: عُوصٌ وَأَرَانُ.

28 οὗτοι δὲ υἱοὶ Ρισων· Ως καὶ Αραμ.

٢٩هَؤُلاَءِ أُمَرَاءُ الْحُورِيِّينَ: أَمِيرُ لُوطَانَ وَأَمِيرُ شُوبَالَ وَأَمِيرُ سِبْعُونَ وَأَمِيرُ عَنَى

29 οὗτοι ἡγεμόνες Χορρι· ἡγεμὼν Λωταν, ἡγεμὼν Σωβαλ, ἡγεμὼν Σεβεγων, ἡγεμὼν Ανα,

---

[٣٢٨] تأتي في العبري הַיֵּמִם (ها يمم) ومعناها: البغال، وقد جاءت في الترجمة اللاتينية: الينابيع الساخنة أو الحارة، ومنها إلى الترجمة البيروتية: الحمائم. أما في اليونانية فقد اعتبرت الكلمة العبرية اسم علم لذلك جاءت Ιαμιν، وربما المقصود يامين بن شمعون (تك ٤٦: ١٠).

[٣٢٩] يأتي ديشان في اليونانية هو نفسه ديشون Δησων الوارد في العدد السابق.

٣٠وَأَمِيرُ دِيشُونَ وَأَمِيرُ إِيصَرَ وَأَمِيرُ دِيشَانَ. هؤُلاَءِ أُمَرَاءُ الْحُورِيِّينَ بِإِمَارَاتِهِمْ فِي أَرْضِ أَدُومَ[٣٣٠].

30 ἡγεμὼν Δησων, ἡγεμὼν Ασαρ, ἡγεμὼν Ρισων. οὗτοι ἡγεμόνες Χορρι ἐν ταῖς ἡγεμονίαις αὐτῶν ἐν γῇ Εδωμ.

٣١وَهؤُلاَءِ هُمُ الْمُلُوكُ الَّذِينَ مَلَكُوا فِي أَدُومَ قَبْلَمَا مَلَكَ مَلِكٌ فِي إِسْرَائِيلَ.

31 Καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Εδωμ πρὸ τοῦ βασιλεῦσαι βασιλέα ἐν Ισραηλ.

٣٢مَلَكَ فِي أَدُومَ بَالَعُ بْنُ بَعُورَ. وَاسْمُ مَدِينَتِهِ دِنْهَابَةُ.

32 καὶ ἐβασίλευσεν ἐν Εδωμ Βαλακ υἱὸς τοῦ Βεωρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβα.

٣٣وَمَاتَ بَالَعُ فَمَلَكَ مَكَانَهُ يُوبَابُ بْنُ زَارَحَ مِنْ بُصْرَةَ.

33 ἀπέθανεν δὲ Βαλακ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ιωβαβ υἱὸς Ζαρα ἐκ Βοσορρας.

٣٤وَمَاتَ يُوبَابُ فَمَلَكَ مَكَانَهُ حُوشَامُ مِنْ أَرْضِ التَّيْمَانِيِّينَ.

34 ἀπέθανεν δὲ Ιωβαβ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ασομ ἐκ τῆς γῆς Θαιμανων.

٣٥وَمَاتَ حُوشَامُ فَمَلَكَ مَكَانَهُ هَدَادُ بْنُ بَدَادَ الَّذِي كَسَّرَ مِدْيَانَ فِي سَهْلِ مُوآبَ،

35 ἀπέθανεν δὲ Ασομ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Αδαδ υἱὸς Βαραδ ὁ ἐκκόψας Μαδιαμ ἐν τῷ πεδίῳ Μωαβ, καὶ ὄνομα τῇ

---

[٣٣٠] تأتي في العبري سعير שֵׂעִיר، لكنها تأتي أدوم في اليوناني والقبطي.

وَاسْمُ مَدِينَتِهِ عَوِيتَ.

٣٦وَمَاتَ هَدَادُ فَمَلَكَ مَكَانَهُ سَمْلَةُ مِنْ مَسْرِيقَةَ.

٣٧وَمَاتَ سَمْلَةُ فَمَلَكَ مَكَانَهُ شَأُولُ مِنْ رَحُوبُوتَ الَّتِي عَلَى النَّهْرِ.

٣٨وَمَاتَ شَأُولُ فَمَلَكَ مَكَانَهُ بَعْلُ حَانَانَ بْنُ عَكْبُورَ.

٣٩وَمَاتَ بَعْلُ حَانَانَ بْنُ عَكْبُورَ فَمَلَكَ مَكَانَهُ أَرَادُ بْنَ بَارَادَ. وَاسْمُ مَدِينَتِهِ فَاعُوَ. وَاسْمُ امْرَأَتِهِ مَهِيطَبْئِيلُ بِنْتُ مَطْرِدَ ابْنُ مَاءِ ذَهَبَ.

٤٠هٰذِهِ أَسْمَاءُ أُمَرَاءِ عِيسُو فِي قَبَائِلِهِمْ بِحَسَبِ مَكَانِهِم فِي بِلْدَانِهِم وَفِي أُمَمِهِم: أَمِيرُ تِمْنَاعَ وَأَمِيرُ عَلْوَةَ وَأَمِيرُ يَتِيتَ

٤١وَأَمِيرُ أُهُولِيبَامَةَ وَأَمِيرُ أَيْلَةَ وَأَمِيرُ فِينُونَ

πόλει αὐτοῦ Γεθθαιμ.

36 ἀπέθανεν δὲ Αδαδ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Σαμαλα ἐκ Μασεκκας.

37 ἀπέθανεν δὲ Σαμαλα, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Σαουλ ἐκ Ροωβωθ τῆς παρὰ ποταμόν.

38 ἀπέθανεν δὲ Σαουλ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Βαλαεννων υἱὸς Αχοβωρ.

39 ἀπέθανεν δὲ Βαλαεννων υἱὸς Αχοβωρ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Αραδ υἱὸς Βαραδ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογωρ, ὄνομα δὲ τῇ γυναικὶ αὐτοῦ Μαιτεβεηλ θυγάτηρ Ματραιθ υἱοῦ Μαιζοοβ.

40 Ταῦτα τὰ ὀνόματα τῶν ἡγεμόνων Ησαυ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ τόπον αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν· ἡγεμὼν Θαμνα, ἡγεμὼν Γωλα, ἡγεμὼν Ιεθερ,

41 ἡγεμὼν Ελιβεμας, ἡγεμὼν Ηλας, ἡγεμὼν Φινων,

٤٢وَأَمِيرُ قَنَازَ وَأَمِيرُ تَيْمَانَ وَأَمِيرُ مِبْصَارَ

42 ἡγεμὼν Κενεζ, ἡγεμὼν Θαιμαν, ἡγεμὼν Μαζαρ,

٤٣وَأَمِيرُ مَجْدِيئِيلَ وَأَمِيرُ زَافايم. هَؤُلَاءِ أُمَرَاءُ أَدُومَ فِي مَسَاكِنِهِمْ فِي أَرْضِ مُلْكِهِمْ. هَذَا هُوَ عِيسُو أَبُو أَدُومَ.

43 ἡγεμὼν Μεγεδιηλ, ἡγεμὼν Ζαφωιμ. οὗτοι ἡγεμόνες Εδωμ ἐν ταῖς κατῳκοδομημέναις ἐν τῇ γῇ τῆς κτήσεως αὐτῶν. Οὗτος Ησαυ πατὴρ Εδωμ.

اَلأَصْحَاحُ السَّابِعُ وَالثَّلاَثُونَ

١وَسَكَنَ يَعْقُوبُ فِي الأَرْضِ حَيْثُ تَغَرَّبَ أَبُوهُ فِي أَرْضِ كَنْعَانَ.

1 Κατῴκει δὲ Ιακωβ ἐν τῇ γῇ, οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ, ἐν γῇ Χανααν.

٢هَذِهِ مَوَالِيدُ يَعْقُوبَ: يُوسُفُ إِذْ كَانَ ابْنَ سَبْعَ عَشَرَةَ سَنَةً، كَانَ يَرْعَى مَعَ إِخْوَتِهِ الْغَنَمَ وَهُوَ غُلاَمٌ، مَعَ بَنِي بِلْهَةَ وَمَعَ بَنِي زِلْفَةَ امْرَأَتَيْ أَبِيهِ. وَأَتَى[٣٣١] يُوسُفُ بِنَمِيمَتِهِمِ الشِّرِّيرَةِ إِلَى إِسْرَائِيلَ أَبِيهِمْ.

2 αὗται δὲ αἱ γενέσεις Ιακωβ· Ιωσηφ δέκα ἑπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα ὢν νέος, μετὰ τῶν υἱῶν Βαλλας καὶ μετὰ τῶν υἱῶν Ζελφας τῶν γυναικῶν τοῦ πατρὸς αὐτοῦ· κατήνεγκεν δὲ Ιωσηφ ψόγον πονηρὸν πρὸς Ισραηλ τὸν πατέρα αὐτῶν.

---

[٣٣١] تأتي في النسخة الإسكندرية κατήνεγκαν (في الجمع) بدلاً من κατήνεγκεν (في المفرد)، فيكون ترجمة الآية: «وأتوا بعتاب شرير ضد يوسف إلى إسرائيل أبيهم». وهكذا وردت أيضاً في الترجمة القبطية البحيرية.

3 Ιακωβ δὲ ἠγάπα τὸν Ιωσηφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρους ἦν αὐτῷ· ἐποίησεν δὲ αὐτῷ χιτῶνα ποικίλον.

٣وَكَانَ يَعْقُوبُ يُحِبُّ يُوسُفَ أَكْثَرَ مِنْ سَائِرِ بَنِيه، لأَنَّهُ كَانَ ابْنَ شَيْخُوخَتِه، فَصَنَعَ لَهُ قَمِيصاً مُلَوَّناً.

4 ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτὸν καὶ οὐκ ἐδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν.

٤فَلَمَّا رَأَى إِخْوَتُهُ أَنَّ أَبَاهُمْ أَحَبَّهُ أَكْثَرَ مِنْ جَمِيعِ بَنِيه، أَبْغَضُوهُ وَلَمْ يَسْتَطِيعُوا أَنْ يُكَلِّمُوهُ بِأَيِّ سَلَامٍ.

5 Ἐνυπνιασθεὶς δὲ Ιωσηφ ἐνύπνιον ἀπήγγειλεν αὐτὸ τοῖς ἀδελφοῖς αὐτοῦ

٥وَحَلَمَ يُوسُفُ حُلْماً وَأَخْبَرَ بِه إِخْوَتَهُ[٣٣٢].

6 καὶ εἶπεν αὐτοῖς Ἀκούσατε τοῦ ἐνυπνίου τούτου, οὗ ἐνυπνιάσθην·

٦فَقَالَ لَهُمْ: «اسْمَعُوا هَذَا الْحُلْمَ الَّذِي حَلُمْتُ.

7 ᾤμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ὠρθώθη, περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν προσεκύνησαν τὸ ἐμὸν δράγμα.

٧أَظُنُّ أَنَّنَا كُنَّا نَرْبِطُ حُزَماً فِي وَسَطِ السَّهْلِ، فَقَامَتْ حُزْمَتِي وَانْتَصَبَتْ، فَأَحَاطَتْ بِهَا حُزَمُكُمْ وَسَجَدَتْ لِحُزْمَتِي».

8 εἶπαν δὲ αὐτῷ οἱ ἀδελφοί Μὴ βασιλεύων βασιλεύσεις ἐφ᾽ ἡμᾶς ἢ

٨فَقَالَ لَهُ إِخْوَتُهُ: «أَلَعَلَّكَ تَمْلُكُ عَلَيْنَا مُلْكاً أَمْ تَتَسَيَّدُ

---

٣٣٢ يأتي في النص العبري: «فازدادوا أيضاً بغضاً له»، (انظر العدد ٨).

عَلَيْنَا تَسَيُّداً؟» وَازْدَادُوا أَيْضاً بُغْضاً لَهُ مِنْ أَجْلِ أَحْلاَمِهِ وَمِنْ أَجْلِ كَلاَمِهِ.

κυριεύων κυριεύσεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ.

٩ثُمَّ رَأَى حُلْماً آخَرَ وَقَصَّهُ عَلَى أَبِيهِ وَعَلَى إِخْوَتِهِ. فَقَالَ: «هُوذَا قَدْ حَلُمْتُ حُلْماً آخَرَ، كَأَنَّ الشَّمْسَ وَالْقَمَرَ وَأَحَدَ عَشَرَ كَوْكَباً سَاجِدَةٌ لِي».

9 εἶδεν δὲ ἐνύπνιον ἕτερον καὶ διηγήσατο αὐτὸ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ εἶπεν Ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον ἕτερον, ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με.

١٠فَانْتَهَرَهُ أَبُوهُ وَقَالَ لَهُ[٣٣٣]: «مَا هَذَا الْحُلْمُ الَّذِي حَلُمْتَ! هَلْ نَأْتِي حَقًّا[٣٣٤] أَنَا وَأُمُّكَ وَإِخْوَتُكَ لِنَسْجُدَ لَكَ عَلَى الأَرْضِ؟»

10 καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ εἶπεν αὐτῷ Τί τὸ ἐνύπνιον τοῦτο, ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν;

١١فَحَسَدَهُ إِخْوَتُهُ، وَأَمَّا أَبُوهُ فَحَفِظَ الأَمْرَ[٣٣٥].

11 ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτοῦ διετήρησεν τὸ ῥῆμα.

١٢وَمَضَى إِخْوَتُهُ لِيَرْعَوْا

12 Ἐπορεύθησαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ

[٣٣٣] يأتي في النص العبري: وقصّه على أبيه وعلى إخوته فانتهره أبوه...

[٣٣٤] يتكرر الفعل في اليوناني للتأكيد ἐλθόντες ἐλευσόμεθα: هل نأتي إتيانا، أو هل نجيء مجيئاً.

[٣٣٥] يستعمل القديس لوقا نفس الكلمات اليونانية عن العذراء مريم: «وكانت أمه تحفظ جميع هذه الأمور» (لو ٢: ٥١).

غَنَمَ أَبِيهِمْ فِي شَكِيمَ.

βόσκειν τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν εἰς Συχεμ.

١٣فَقَالَ إِسْرَائِيلُ لِيُوسُفَ: «أَلَيْسَ إِخْوَتُكَ يَرْعَوْنَ فِي شَكِيمَ؟ تَعَالَ فَأُرْسِلَكَ إِلَيْهِمْ». فَقَالَ لَهُ: «هأَنَذَا».

13 καὶ εἶπεν Ισραηλ πρὸς Ιωσηφ Οὐχ οἱ ἀδελφοί σου ποιμαίνουσιν ἐν Συχεμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. εἶπεν δὲ αὐτῷ Ἰδοὺ ἐγώ.

١٤فَقَالَ لَهُ إِسْرَائِيلُ: «اذْهَبِ انْظُرْ إِنْ كَانَ إِخْوَتُكَ وَالْغَنَمُ سَالِمِينَ، وَأَخْبِرْنِي». فَأَرْسَلَهُ مِنْ وَادِي[٣٣٦] حَبْرُونَ، فَأَتَى إِلَى شَكِيمَ.

14 εἶπεν δὲ αὐτῷ Ισραηλ Πορευθεὶς ἰδὲ εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρων, καὶ ἦλθεν εἰς Συχεμ.

١٥فَوَجَدَهُ رَجُلٌ وَإِذَا هُوَ تَائِهٌ فِي السَّهْلِ. فَسَأَلَهُ الرَّجُلُ قَائِلاً: «مَاذَا تَطْلُبُ؟»

15 καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ· ἠρώτησεν δὲ αὐτὸν ὁ ἄνθρωπος λέγων Τί ζητεῖς;

١٦أَمَّا هُوَ فَقَالَ: «أَنَا طَالِبٌ إِخْوَتِي. أَخْبِرْنِي أَيْنَ يَرْعَوْنَ».

16 ὁ δὲ εἶπεν Τοὺς ἀδελφούς μου ζητῶ· ἀνάγγειλόν μοι, ποῦ βόσκουσιν.

١٧فَقَالَ لَهُ الرَّجُلُ: «قَد

17 εἶπεν δὲ αὐτῷ ὁ ἄνθρωπος Ἀπήρκασιν

---

[٣٣٦] تأتي في العبري עֵמֶק (عِمق) ومعناها وادي عميق، وكذلك في اليوناني κοιλάς بمعنى وادي عميق (تك ١٤: ٨، ١٠، ١٧).

ارْتَحَلُوا مِنْ هُنَا، لأَنِّي سَمِعْتُهُمْ يَقُولُونَ: لِنَذْهَبْ إِلَى دُوثَانَ». فَذَهَبَ يُوسُفُ وَرَاءَ إِخْوَتِهِ فَوَجَدَهُمْ فِي دُوثَانَ.

ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων Πορευθῶμεν εἰς Δωθαϊμ. καὶ ἐπορεύθη Ιωσηφ κατόπισθεν τῶν ἀδελφῶν αὐτοῦ καὶ εὗρεν αὐτοὺς ἐν Δωθαϊμ.

١٨فَلَمَّا أَبْصَرُوهُ مِنْ بَعِيدٍ قَبْلَمَا اقْتَرَبَ إِلَيْهِمِ، تَآمَرُوا شَرًّا لِيَقْتُلُوهُ.

18 προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτὸν πρὸς αὐτοὺς καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν.

١٩فَقَالَ كُلُّ وَاحِدٍ لأَخِيهِ: «هُوَذَا ذَاكَ الْحَالِمُ قَادِمٌ.

19 εἶπαν δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται·

٢٠فَالآنَ هَلُمَّ نَقْتُلْهُ وَنَطْرَحْهُ فِي أَحَدِ الْجِبَابِ[٢٣٧] وَنَقُولُ: وَحْشٌ شَرِسٌ الْتَهَمَهُ. فَنَرَى مَاذَا تَكُونُ أَحْلاَمُهُ».

20 νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων καὶ ἐροῦμεν Θηρίον πονηρὸν κατέφαγεν αὐτόν· καὶ ὀψόμεθα, τί ἔσται τὰ ἐνύπνια αὐτοῦ.

٢١فَسَمِعَ رَأُوبَيْنُ وَأَنْقَذَهُ مِنْ أَيْدِيهِمْ وَقَالَ: «لاَ نَضْرِبَهُ حَتَّى الْمَوْتِ[٢٣٨]».

21 ἀκούσας δὲ Ρουβην ἐξείλατο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ εἶπεν Οὐ πατάξομεν αὐτὸν εἰς ψυχήν.

---

[٢٣٧] كلمة λάκκος معناها: جُب أو هوة أو خزان فارغ، وكانت تُطلق على الخزانات الكبيرة التي يُحفظ فيها الخمر، وهي نفس الكلمة التي وردت في (تك ٤٠: ١٥) عن السجن الذي كان فيه يوسف.

[٢٣٨] تأتي في العبري: لا نضربه نفساً، أي لا نقتله أو نذبحه، وفي اليوناني: لا نضربه حتى النفس، أي حتى نزع نفسه، وجاءت في القبطي البحيري: لأنه نفس.

22 εἶπεν δὲ αὐτοῖς Ρουβην Μὴ ἐκχέετε αἷμα· ἐμβάλετε αὐτὸν εἰς τὸν λάκκον τοῦτον τὸν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ· ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ.

٢٢وَقَالَ لَهُمْ رَأُوبَيْنُ: «لاَ تَسْفِكُوا دَماً. اطْرَحُوهُ فِي هَذَا الْجُبِّ الَّذِي فِي الْبَرِّيَّةِ، وَلاَ تَمُدُّوا إِلَيْهِ يَداً» - لِكَيْ يُنْقِذَهُ مِنْ أَيْدِيهِمْ لِيَرُدَّهُ إِلَى أَبِيهِ.

23 ἐγένετο δὲ ἡνίκα ἦλθεν Ιωσηφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐξέδυσαν τὸν Ιωσηφ τὸν χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτὸν

٢٣فَكَانَ لَمَّا جَاءَ يُوسُفُ إِلَى إِخْوَتِهِ، أَنَّهُمْ خَلَعُوا عَنْهُ قَمِيصَهُ الْمُلَوَّنَ الَّذِي عَلَيْهِ،

24 καὶ λαβόντες αὐτὸν ἔρριψαν εἰς τὸν λάκκον· ὁ δὲ λάκκος κενός, ὕδωρ οὐκ εἶχεν.

٢٤وَأَخَذُوهُ وَطَرَحُوهُ فِي الْجُبِّ. وَأَمَّا الْجُبُّ فَكَانَ فَارِغاً، لَيْسَ فِيهَا مَاءٌ.

25 Ἐκάθισαν δὲ φαγεῖν ἄρτον καὶ ἀναβλέψαντες τοῖς ὀφθαλμοῖς εἶδον, καὶ ἰδοὺ ὁδοιπόροι Ισμαηλῖται ἤρχοντο ἐκ Γαλααδ, καὶ αἱ κάμηλοι αὐτῶν ἔγεμον θυμιαμάτων καὶ ῥητίνης καὶ στακτῆς· ἐπορεύοντο δὲ καταγαγεῖν εἰς Αἴγυπτον.

٢٥ثُمَّ جَلَسُوا لِيَأْكُلُوا خُبْزاً. فَرَفَعُوا عُيُونَهُمْ وَنَظَرُوا وَإِذَا رَحَّالَةٌ إِسْمَاعِيلِيِّونَ مُقْبِلُونَ مِنْ جِلْعَادَ، وَجِمَالُهُمْ حَامِلَةٌ أَطْيَاباً وَبَلْسَاناً وَمُرّاً[٣٢٩] ذَاهِبِينَ لِيَنْزِلُوا بِهَا إِلَى مِصْرَ.

---

[٣٢٩] Θυμίαμα ومعناها: لبان أو بخور أو أطياب، ῥητίνη ومعناها: صمغ أو راتنج أو بلسان، στακτή ومعناها: مُر أو ميعة.

26 εἶπεν δὲ Ιουδας πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ;

٢٦فَقَالَ يَهُوذَا لإِخْوَتِهِ: «مَا الْفَائِدَةُ أَنْ نَقْتُلَ أَخَانَا وَنُخْفِيَ دَمَهُ؟

27 δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ισμαηλίταις τούτοις, αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ᾽ αὐτόν, ὅτι ἀδελφὸς ἡμῶν καὶ σὰρξ ἡμῶν ἐστιν. ἤκουσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ.

٢٧تَعَالَوْا فَنَبِيعَهُ لِهؤُلاَءِ الإِسْمَاعِيلِيِّينَ، أَمَّا أَيْدِينَا فَلاَ تَكُنْ عَلَيْهِ لأَنَّهُ أَخُونَا وَلَحْمُنَا». فَسَمِعَ لَهُ إِخْوَتُهُ.

28 καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιηναῖοι οἱ ἔμποροι, καὶ ἐξείλκυσαν καὶ ἀνεβίβασαν τὸν Ιωσηφ ἐκ τοῦ λάκκου καὶ ἀπέδοντο τὸν Ιωσηφ τοῖς Ισμαηλίταις εἴκοσι χρυσῶν, καὶ κατήγαγον τὸν Ιωσηφ εἰς Αἴγυπτον.

٢٨وَاجْتَازَ الرِّجَالُ الْمِدْيَانِيُّونَ التُّجَّارُ فَسَحَبُوا يُوسُفَ وَأَصْعَدُوهُ مِنَ الْجُبِّ وَبَاعُوا يُوسُفَ لِلإِسْمَاعِيلِيِّينَ بِعِشْرِينَ مِنَ الذَّهَبِ. فَنَزَلُوا بِيُوسُفَ إِلَى مِصْرَ.

29 ἀνέστρεψεν δὲ Ρουβην ἐπὶ τὸν λάκκον καὶ οὐχ ὁρᾷ τὸν Ιωσηφ ἐν τῷ λάκκῳ καὶ διέρρηξεν τὰ ἱμάτια αὐτοῦ.

٢٩وَرَجَعَ رَأُوبَيْنُ إِلَى الْجُبِّ وَلَمْ يَنْظُرْ يُوسُفَ فِي الْجُبِّ، فَمَزَّقَ ثِيَابَهُ.

30 καὶ ἀνέστρεψεν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἶπεν Τὸ παιδάριον οὐκ ἔστιν·

٣٠ثُمَّ رَجَعَ إِلَى إِخْوَتِهِ وَقَالَ: «الْوَلَدُ لَيْسَ مَوْجُوداً،

وَأَنَا إِلَى أَيْنَ أَذْهَبُ بَعْدُ؟»

ἐγὼ δὲ ποῦ πορεύομαι ἔτι;

٣١فَأَخَذُوا قَمِيصَ يُوسُفَ وَذَبَحُوا جَدْياً مِنَ الْمَعْزِ وَلَطَّخُوا الْقَمِيصَ بِالدَّمِ

31 Λαβόντες δὲ τὸν χιτῶνα τοῦ Ιωσηφ ἔσφαξαν ἔριφον αἰγῶν καὶ ἐμόλυναν τὸν χιτῶνα τῷ αἵματι.

٣٢وَأَرْسَلُوا الْقَمِيصَ الْمُلَوَّنَ وَأَحْضَرُوهُ إِلَى أَبِيهِمْ وَقَالُوا: «وَجَدْنَا هَذَا. فَتَعَرَّفْ عَلَيْهِ أَقَمِيصُ ابْنِكَ هُوَ أَمْ لاَ؟»

32 καὶ ἀπέστειλαν τὸν χιτῶνα τὸν ποικίλον καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν καὶ εἶπαν Τοῦτον εὕρομεν· ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν ἢ οὔ.

٣٣ فَتَعَرَّفَ عَلَيْهِ وَقَالَ: «قَمِيصُ ابْنِي. وَحْشٌ شَرِسٌ الْتَهَمَهُ! وَحْشٌ افْتَرَسَ يُوسُفَ!»

33 καὶ ἐπέγνω αὐτὸν καὶ εἶπεν Χιτὼν τοῦ υἱοῦ μού ἐστιν· θηρίον πονηρὸν κατέφαγεν αὐτόν, θηρίον ἥρπασεν τὸν Ιωσηφ.

٣٤فَمَزَّقَ يَعْقُوبُ ثِيَابَهُ وَوَضَعَ مِسْحاً عَلَى حَقَوَيْهِ وَنَاحَ عَلَى ابْنِهِ أَيَّاماً كَثِيرَةً.

34 διέρρηξεν δὲ Ιακωβ τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς.

٣٥فَاجْتَمَعَ جَمِيعُ بَنِيهِ وَبَنَاتِهِ وَأَتَوْا لِيُعَزُّوهُ. فَأَبَى أَنْ يَتَعَزَّى قَائِلاً: «إِنِّي أَنْزِلُ إِلَى ابْنِي نَائِحاً إِلَى الْهَاوِيَةِ». وَبَكَى عَلَيْهِ أَبُوهُ.

35 συνήχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες καὶ ἦλθον παρακαλέσαι αὐτόν, καὶ οὐκ ἤθελεν παρακαλεῖσθαι λέγων ὅτι Καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου. καὶ ἔκλαυσεν αὐτὸν ὁ

πατὴρ αὐτοῦ.

٣٦وَأَمَّا الْمِدْيَانِيُّونَ[٣٤٠] فَبَاعُوا يُوسُفَ فِي مِصْرَ لِفُوطِيفَارَ[٣٤١] خَصِيِّ فِرْعَوْنَ رَئِيسِ الْحَرَسِ[٣٤٢].

36 οἱ δὲ Μαδιηναῖοι ἀπέδοντο τὸν Ιωσηφ εἰς Αἴγυπτον τῷ Πετεφρη τῷ σπάδοντι Φαραω, ἀρχιμαγείρῳ.

اَلأَصْحَاحُ الثَّامِنُ وَالثَّلاَثُونَ

١وَحَدَثَ فِي ذَلِكَ الزَّمَانِ أَنَّ يَهُوذَا نَزَلَ مِنْ عِنْدِ إِخْوَتِهِ وَوَصَلَ إِلَى رَجُلٍ عَدُلاَّمِيٍّ اسْمُهُ حِيرَةُ.

1 Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ κατέβη Ιουδας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἀφίκετο ἕως πρὸς ἄνθρωπόν τινα Οδολλαμίτην, ᾧ ὄνομα Ιρας.

٢وَنَظَرَ يَهُوذَا هُنَاكَ ابْنَةَ رَجُلٍ كَنْعَانِيٍّ اسْمُهَا شُوعَ، فَأَخَذَهَا وَدَخَلَ إِلَيْهَا.

2 καὶ εἶδεν ἐκεῖ Ιουδας θυγατέρα ἀνθρώπου Χαναναίου, ᾗ ὄνομα Σαυα, καὶ ἔλαβεν αὐτὴν καὶ εἰσῆλθεν πρὸς αὐτήν.

[٣٤٠] تأتي في العبري וְהַמְּדָנִים (وها مدانيم) نسبة إلى مدان، وهم غير المديانيين מִדְיָנִים (مديانيم) المذكورين في عدد ٢٨، ومن (تك ٢٥: ٢) نعرف أن مدان كان أخاً لمديان، أي أن الرحالة المسافرين كانوا خليطاً من عدة قبائل.

[٣٤١] فوطيفار פּוֹטִיפַר اسم مصري قديم معناه: المُعطى من الإلهة الشمس.

[٣٤٢] الاسم اليوناني ἀρχιμάγειρος مشتق من الفعل μαγειρεύω الذي يعني: يطهي الطعام أو اللحوم. فيكون معناه الحرفي: رئيس الطهاة. لكن هذا اللقب كان يطلق على الرئيس الذي كان يجمع تحت سلطته رئاسة الشرطة ورئاسة الحرس، المسئول عن حراسة بيت الملك، وليس على من يقوم بطهي الطعام، وقد أُطلق في الكتاب المقدس على فوطيفار (تك٣٧: ٣٦؛ ٣٩: ١؛ ٤١: ١٢) وعلى نبوزرادان (٢مل ٢٥: ٨؛ إر ٤٠: ١)، وعلى أريوخ (دا ٢: ١٤) الذي ذكر يوسيفوس أنه كان مسئولاً عن رئاسة الحرس الملكي (*Ant.* X, 2).

3 καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ηρ.

٣فَحَبِلَتْ وَوَلَدَتِ ابْناً وَدَعَتِ اسْمَهُ عِيراً.

4 καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Αυναν.

٤ثُمَّ حَبِلَتْ أَيْضاً وَوَلَدَتِ ابْناً وَدَعَتِ اسْمَهُ أُونَانَ.

5 καὶ προσθεῖσα ἔτι ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Σηλωμ. αὐτὴ δὲ ἦν ἐν Χασβι, ἡνίκα ἔτεκεν αὐτούς.

٥ثُمَّ عَادَتْ فَوَلَدَتْ أَيْضاً ابْناً وَدَعَتِ اسْمَهُ شِيلَةَ. وَكَانَتْ هِيَ فِي كَزِيبَ حِينَ وَلَدَتْهُمْ.

6 καὶ ἔλαβεν Ιουδας γυναῖκα Ηρ τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θαμαρ.

٦وَأَخَذَ يَهُوذَا زَوْجَةً لِعِيرٍ بِكْرِهِ اسْمُهَا ثَامَارُ.

7 ἐγένετο δὲ Ηρ πρωτότοκος Ιουδα πονηρὸς ἐναντίον κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός.

٧وَكَانَ عِيرٌ بِكْرُ يَهُوذَا شِرِّيراً أَمَامَ الرَّبِّ، فَقَتَلَهُ اللهُ.

8 εἶπεν δὲ Ιουδας τῷ Αυναν Εἴσελθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου καὶ γάμβρευσαι αὐτὴν καὶ ἀνάστησον σπέρμα τῷ ἀδελφῷ σου.

٨فَقَالَ يَهُوذَا لأُونَانَ: «ادْخُلْ إِلَى امْرَأَةِ أَخِيكَ وَتَزَوَّجْ بِهَا وَأَقِمْ نَسْلاً لأَخِيكَ».

9 γνοὺς δὲ Αυναν ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ἐγίνετο ὅταν εἰσήρχετο πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐξέχεεν ἐπὶ

٩فَعَلِمَ أُونَانُ أَنَّ النَّسْلَ لاَ يَكُونُ لَهُ. فَكَانَ إِذَا دَخَلَ إِلَى امْرَأَةِ أَخِيهِ، أَنَّهُ يَسْكُبُ عَلَى

الأَرْضِ لِكَيْ لاَ يُعْطِيَ نَسْلاً لأَخيه.	τὴν γῆν τοῦ μὴ δοῦναι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.
١٠فَتَرَاءَى (الأَمْرُ) شرِّيراً أَمَامَ الرَّبِّ لأَنَّه فَعَلَ هَذَا، فَأَمَاتَ هَذَا أَيْضاً.	10 πονηρὸν δὲ ἐφάνη ἐναντίον τοῦ θεοῦ ὅτι ἐποίησεν τοῦτο, καὶ ἐθανάτωσεν καὶ τοῦτον.
١١فقَالَ يَهُوذَا لِثَامَارَ كَنَّته: «اقْعُدِي أَرْمَلَةً فِي بَيْتِ أَبِيكِ حَتَّى يَصِيرَ شِيلَةُ ابْنِي كَبِيراً». لأَنَّهُ قَالَ: «لئلاَ يَمُوتُ هُوَ أَيْضاً كَأَخَوَيْه». فَمَضَتْ ثَامَارُ وَقَعَدَتْ فِي بَيْتِ أَبِيهَا.	11 εἶπεν δὲ Ιουδας Θαμαρ τῇ νύμφῃ αὐτοῦ Κάθου χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός σου, ἕως μέγας γένηται Σηλωμ ὁ υἱός μου· εἶπεν γάρ Μήποτε ἀποθάνῃ καὶ οὗτος ὥσπερ οἱ ἀδελφοὶ αὐτοῦ. ἀπελθοῦσα δὲ Θαμαρ ἐκάθητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς.
١٢وَطَالَتِ الأَيَّامُ وَمَاتَت شُوعُ امْرَأَةُ يَهُوذَا، وَلَمَّا تَعزَّى يَهُوذَا، صَعِدَ إِلَى مَنْ يَجزُّونَ غَنَمَهَ، إِلَى تِمْنَةَ، هُوَ وَحِيرَةُ رَاعِيَهُ الْعَدُلاَّمِيُّ.	12 Ἐπληθύνθησαν δὲ αἱ ἡμέραι καὶ ἀπέθανεν Σαυα ἡ γυνὴ Ιουδα· καὶ παρακληθεὶς Ιουδας ἀνέβη ἐπὶ τοὺς κείροντας τὰ πρόβατα αὐτοῦ, αὐτὸς καὶ Ιρας ὁ ποιμὴν αὐτοῦ ὁ Οδολλαμίτης, εἰς Θαμνα.
١٣فَأُخْبِرَتْ ثَامَارُ كَنَّتُهُ، قَائلِينَ: «هُوَذَا حَمُوكِ صَاعِدٌ	13 καὶ ἀπηγγέλη Θαμαρ τῇ νύμφῃ αὐτοῦ λέγοντες Ἰδοὺ ὁ πενθερός σου ἀναβαίνει

إِلَى تِمْنَةَ لِيَجُزَّ غَنَمَهُ».

εἰς Θαμνα κεῖραι τὰ πρόβατα αὐτοῦ.

١٤فَخَلَعَتْ عَنْهَا ثِيَابَ تَرَمُّلِهَا، وَتَغَطَّتْ بِبُرْقُعٍ وَتَزَيَّنَتْ وَجَلَسَتْ عِنْدَ أَبْوَابِ عَيْنَايِمَ الَّتِي عَلَى طَرِيقِ تِمْنَةَ، لأَنَّهَا رَأَتْ أَنَّ شِيلَةَ قَدْ صَارَ كَبِيراً، وَأَنَّه لَمْ يُعطِهَا لَهُ زَوْجَةً.

14 καὶ περιελομένη τὰ ἱμάτια τῆς χηρεύσεως ἀφ᾽ ἑαυτῆς περιεβάλετο θέριστρον καὶ ἐκαλλωπίσατο καὶ ἐκάθισεν πρὸς ταῖς πύλαις Αιναν, ἥ ἐστιν ἐν παρόδῳ Θαμνα· εἶδεν γὰρ ὅτι μέγας γέγονεν Σηλωμ, αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα.

١٥فَنَظَرَهَا يَهُوذَا وَحَسِبَهَا زَانِيَةً لأَنَّهَا كَانَتْ قَدْ غَطَّتْ وَجْهَهَا فَلَمْ يَعْرِفْهَا.

15 καὶ ἰδὼν αὐτὴν Ιουδας ἔδοξεν αὐτὴν πόρνην εἶναι· κατεκαλύψατο γὰρ τὸ πρόσωπον αὐτῆς, καὶ οὐκ ἐπέγνω αὐτήν.

١٦فَمَالَ إِلَيْهَا عَلَى الطَّرِيقِ وَقَالَ لَهَا: «دَعِينِي أَدْخُلْ إِلَيْكِ». لأَنَّهُ لَمْ يَعْلَمْ أَنَّهَا كَنَّتُهُ. أَمَّا هِيَ فَقَالَتْ: «مَاذَا تُعْطِينِي لِكَيْ تَدْخُلَ إِلَيَّ؟»

16 ἐξέκλινεν δὲ πρὸς αὐτὴν τὴν ὁδὸν καὶ εἶπεν αὐτῇ Ἔασόν με εἰσελθεῖν πρὸς σέ· οὐ γὰρ ἔγνω ὅτι ἡ νύμφη αὐτοῦ ἐστιν. ἡ δὲ εἶπεν Τί μοι δώσεις, ἐὰν εἰσέλθῃς πρός με;

١٧فَقَالَ: «إِنِّي أُرْسِلُ لَكِ جَدْياً مِنَ الْمَعْزِ مِنْ (قَطِيعِ) الْغَنَمِ». فَقَالَتْ: «إِنْ كُنْتَ تُعْطِينِي رَهْناً حَتَّى تُرْسِلَهُ».

17 ὁ δὲ εἶπεν Ἐγώ σοι ἀποστελῶ ἔριφον αἰγῶν ἐκ τῶν προβάτων. ἡ δὲ εἶπεν Ἐὰν δῷς ἀρραβῶνα ἕως τοῦ ἀποστεῖλαί σε.

١٨أَمَّا هُوَ فَقَالَ: «مَا الرَّهْنُ الَّذِي أُعْطِيكِ؟» فَقَالَتْ: «خَاتِمُكَ وَقِلاَدَتُكَ وَعَصَاكَ الَّتِي فِي يَدِكَ». فَأَعْطَاهَا وَدَخَلَ إِلَيْهَا. فَحَبِلَتْ مِنْهُ.

18 ὁ δὲ εἶπεν Τίνα τὸν ἀρραβῶνά σοι δώσω; ἡ δὲ εἶπεν Τὸν δακτύλιόν σου καὶ τὸν ὁρμίσκον καὶ τὴν ῥάβδον τὴν ἐν τῇ χειρί σου. καὶ ἔδωκεν αὐτῇ καὶ εἰσῆλθεν πρὸς αὐτήν, καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ.

١٩ثُمَّ قَامَتْ وَمَضَتْ وَخَلَعَتْ عَنْهَا بُرْقُعَهَا وَلَبِسَتْ ثِيَابَ تَرَمُّلِهَا.

19 καὶ ἀναστᾶσα ἀπῆλθεν καὶ περιείλατο τὸ θέριστρον ἀφ᾽ ἑαυτῆς καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς.

٢٠فَأَرْسَلَ يَهُوذَا الْجَدْيَ مِنَ الْمَعْزِ بِيَدِ رَاعِيهِ الْعَدُلاَّمِيِّ لِيَسْتَرِدَّ الرَّهْنَ مِنَ الْمَرْأَةِ، فَلَمْ يَجِدْهَا.

20 ἀπέστειλεν δὲ Ιουδας τὸν ἔριφον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ ποιμένος αὐτοῦ τοῦ Οδολλαμίτου κομίσασθαι τὸν ἀρραβῶνα παρὰ τῆς γυναικός, καὶ οὐχ εὗρεν αὐτήν.

٢١فَسَأَلَ رِجَالَ الْمَكَانِ: «أَيْنَ الزَّانِيَةُ الَّتِي كَانَتْ فِي عَيْنَايِمَ عَلَى الطَّرِيقِ؟» فَقَالُوا: «لَمْ تَكُنْ هٰهُنَا زَانِيَةٌ».

21 ἐπηρώτησεν δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου Ποῦ ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν Αιναν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπαν Οὐκ ἦν ἐνταῦθα πόρνη.

٢٢فَرَجَعَ إِلَى يَهُوذَا وَقَالَ: «لَمْ أَجِدْهَا. وَأَهْلُ الْمَكَانِ يَقُولُونَ: لَمْ تَكُنْ هٰهُنَا زَانِيَةٌ».

22 καὶ ἀπεστράφη πρὸς Ιουδαν καὶ εἶπεν Οὐχ εὗρον, καὶ οἱ ἄνθρωποι οἱ ἐκ τοῦ τόπου λέγουσιν μὴ εἶναι ὧδε πόρνην.

٢٣فَقَالَ يَهُوذَا: «لِتَكُنْ لَهَا

23 εἶπεν δὲ Ιουδας Ἐχέτω αὐτά, ἀλλὰ

هَذه (الأَشْيَاء)، وَلَكِنْ لِئَلاَّ يُسْتَهْزَأَ بِنَا، فَإِنِّي قَدْ أَرْسَلْتُ هَذَا الْجَدْيَ، أَمَّا أَنْتَ فَلَمْ تَجِدْهَا».

μήποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας.

٢٤وَكَانَ بَعْدَ ثَلاَثَة أَشْهُرٍ أَنْ أَخْبَرُوا يَهُوذَا قَائِلِينَ: «قَدْ زَنَتْ ثَامَارُ كَنَّتُكَ. وَهَا هِيَ حُبْلَى أَيْضاً مِنَ الزِّنَا». فَقَالَ يَهُوذَا: «أَخْرِجُوهَا فَتُحْرَقَ».

24 Ἐγένετο δὲ μετὰ τρίμηνον ἀπηγγέλη τῷ Ιουδα λέγοντες Ἐκ πεπόρνευκεν Θαμαρ ἡ νύμφη σου καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας. εἶπεν δὲ Ιουδας Ἐξαγάγετε αὐτήν, καὶ κατακαυθήτω.

٢٥أَمَّا هِيَ فَلَمَّا أُخْرِجَتْ أَرْسَلَتْ إِلَى حَمِيهَا قَائِلَةً: «مِنَ الرَّجُلِ، الَّذِي هَذه لَهُ، أَنَا حُبْلَى!» وَقَالَتْ: «حَقِّقْ لِمَنِ الْخَاتِمُ وَالْقِلاَدَةُ وَالْعَصَا هَذه».

25 αὐτὴ δὲ ἀγομένη ἀπέστειλεν πρὸς τὸν πενθερὸν αὐτῆς λέγουσα Ἐκ τοῦ ἀνθρώπου, τίνος ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω. καὶ εἶπεν Ἐπίγνωθι, τίνος ὁ δακτύλιος καὶ ὁ ὁρμίσκος καὶ ἡ ῥάβδος αὕτη.

٢٦فَتَحَقَّقَهَا يَهُوذَا وَقَالَ: «قَدْ تَبَرَّرَتْ ثَامَارُ أَكْثَرَ مِنِّي، لأَنِّي لَمْ أُعْطِهَا لِشِيلَةَ ابْنِي». فَلَمْ يَعُدْ يَعْرِفُهَا بَعْدُ.

26 ἐπέγνω δὲ Ιουδας καὶ εἶπεν Δεδικαίωται Θαμαρ ἢ ἐγώ, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλωμ τῷ υἱῷ μου. καὶ οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν.

٢٧وَحَدَثَ (وَقْتَ) أَنْ

27 Ἐγένετο δὲ ἡνίκα ἔτικτεν, καὶ τῇδε ἦν

وَلَدَتْ، كَانَ أَيْضاً فِي بَطْنِهَا تَوْأَمَان.

δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς.

٢٨وَكَانَ فِي وِلاَدَتِهَا أَنَّ أَحَدَهُمَا سَبَقَ وَأَخْرَجَ يَدَهُ، فَأَخَذَت الْقَابِلَةُ وَرَبَطَتْ عَلَى يَده (خَيْطاً) قِرْمِزياً قَائِلَةً: «هَذَا خَرَجَ أَوَّلاً».

28 ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτὴν ὁ εἷς προεξήνεγκεν τὴν χεῖρα· λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον λέγουσα Οὗτος ἐξελεύσεται πρότερος.

٢٩وَلَكِنْ حِينَ رَدَّ يَدَهُ، لِلْوَقْت خَرَجَ أَخُوهُ. فَقَالَتْ: «لِمَاذَا لأَجْلِكَ انْقَطَعَ السِّيَاجُ؟[٣٤٣]»، فَدَعَتِ اسْمَهُ «فَارِصَ».

29 ὡς δὲ ἐπισυνήγαγεν τὴν χεῖρα, καὶ εὐθὺς ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ. ἡ δὲ εἶπεν Τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Φαρες.

٣٠وَبَعْدَ ذَلِكَ خَرَجَ أَخُوهُ، الَّذي كَانَ عَلَى يَده (الْخَيْطُ) الْقِرْمِزي. فَدَعَتِ اسْمَهُ «زَارَحَ[٣٤٤]».

30 καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ᾽ ᾧ ἦν ἐπὶ τῇ χειρὶ αὐτοῦ τὸ κόκκινον· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ζαρα.

---

[٣٤٣] تأتي في العبري: لماذا قَطعتَ מַה־פָּרַצְתָּ (ما فَرَصتَ) عليك قطيعة פָּרֶץ (فارص) فدعي اسمه فارص פָּרֶץ. والفعل العبري يعني: يقطع أو يصنع شرخاً في جدار، لذلك جاء في اليونانية τί διεκόπη διὰ σὲ φραγμός أي لماذا لأجلك انقطع السياج أو الحاجز، وجاء نفس المعنى في الترجمة القبطية. وربما المقصود هنا معنىً طبياً، أي هل لأجلك انفتح (بواسطة أخيك) الطريق للولادة؟

[٣٤٤] يأتي الاسم في العبري זָרַח ومعناه شروق أو إشراق.

اَلأَصْحَاحُ التَّاسِعُ وَالثَّلاَثُونَ

١وَأَمَّا يُوسُفُ فَأُنْزِلَ إِلَى مِصْرَ، وَاشْتَرَاهُ فُوطِيفَارُ خَصِيُّ فِرْعَوْنَ رَئِيسُ الْحَرَسِ، رَجُلٌ مِصْرِيٌّ، مِنْ يَدِ الإِسْمَاعِيلِيِّينَ الَّذِينَ أَنْزَلُوهُ إِلَى هُنَاكَ.

1 Ιωσηφ δὲ κατήχθη εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν Πετεφρης ὁ εὐνοῦχος Φαραω, ἀρχιμάγειρος, ἀνὴρ Αἰγύπτιος, ἐκ χειρὸς Ισμαηλιτῶν, οἳ κατήγαγον αὐτὸν ἐκεῖ.

٢وَكَانَ الرَّبُّ مَعَ يُوسُفَ، فَكَانَ رَجُلاً مُوَفَّقاً[٣٤٥]. وَكَانَ فِي الْبَيْتِ عِنْدَ سَيِّدِهِ الْمِصْرِيِّ.

2 καὶ ἦν κύριος μετὰ Ιωσηφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ κυρίῳ τῷ Αἰγυπτίῳ.

٣وَعَرَفَ سَيِّدُهُ أَنَّ الرَّبَّ مَعَهُ، وَأَنَّ كُلَّ مَا يَصْنَعُ كَانَ الرَّبُّ يُنْجِحُهُ بِيَدَيهِ.

3 ᾔδει δὲ ὁ κύριος αὐτοῦ ὅτι κύριος μετ᾽ αὐτοῦ καὶ ὅσα ἂν ποιῇ, κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ.

٤فَوَجَدَ يُوسُفُ نِعْمَةً أَمَامَ سَيِّدِهِ، فَأَرْضَاهُ وَأَقَامَهُ عَلَى بَيْتِهِ، وَدَفَعَ إِلَى يَدِ يُوسُفَ كُلَّ مَا كَانَ لَهُ.

4 καὶ εὗρεν Ιωσηφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ, εὐηρέστει δὲ αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ καὶ πάντα, ὅσα ἦν αὐτῷ, ἔδωκεν διὰ χειρὸς Ιωσηφ.

---

[٣٤٥] حرفياً: من يصيب الهدف.

5 ἐγένετο δὲ μετὰ τὸ κατασταθῆναι αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ καὶ ἐπὶ πάντα, ὅσα ἦν αὐτῷ, καὶ ηὐλόγησεν κύριος τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ Ιωσηφ, καὶ ἐγενήθη εὐλογία κυρίου ἐν πᾶσιν τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ οἴκῳ καὶ ἐν τῷ ἀγρῷ.

٥وَحَدَثَ بَعْدَ أَنْ أَقَامَهُ عَلَى بَيْتِه وَعَلَى كُلِّ مَا كَانَ لَهُ، أَنَّ الرَّبَّ بَارَكَ بَيْتَ الْمِصْرِيِّ بِسَبَبِ يُوسُفَ. وَكَانَتْ بَرَكَةُ الرَّبِّ عَلَى كُلِّ مَا كَانَ لَهُ فِي الْبَيْتِ وَفِي الْحَقْلِ.

6 καὶ ἐπέτρεψεν πάντα, ὅσα ἦν αὐτῷ, εἰς χεῖρας Ιωσηφ καὶ οὐκ ᾔδει τῶν καθ᾽ ἑαυτὸν οὐδὲν πλὴν τοῦ ἄρτου, οὗ ἤσθιεν αὐτός. Καὶ ἦν Ιωσηφ καλὸς τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει σφόδρα.

٦فَتَرَكَ كُلَّ مَا كَانَ لَهُ فِي يَدَيْ يُوسُفَ. وَلَمْ يَكُنْ يَعْرِفُ شَيْئاً مِمَّا لَهُ إِلاَّ الْخُبْزَ الَّذِي يَأْكُلُ. وَكَانَ يُوسُفُ حَسَنَ الصُّورَةِ وَجَمِيلَ الْمَنْظَرِ جِداً.

7 καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ιωσηφ καὶ εἶπεν Κοιμήθητι μετ᾽ ἐμοῦ.

٧وَحَدَثَ بَعْدَ هَذِهِ الأُمُورِ أَنَّ امْرَأَةَ سَيِّدِه أَلْقَتْ عَيْنَيْهَا عَلَى يُوسُفَ وَقَالَتِ: «اضْطَجِعْ مَعِي».

8 ὁ δὲ οὐκ ἤθελεν, εἶπεν δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ Εἰ ὁ κύριός μου οὐ γινώσκει δι᾽ ἐμὲ οὐδὲν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ἔδωκεν εἰς τὰς

٨أَمَّا هُو فَلَمْ يَشَأْ، بَلْ قَالَ لامْرَأَةِ سَيِّدِه: «إِذَا كَانَ سَيِّدِي لاَ يَعْرِفُ بِسَبَبِي شَيْئاً مِمَّا فِي بَيْتِه، وَكُلُّ مَا لَهُ قَدْ

دَفَعَهُ إِلَى يَدَيَّ.

٩وَلَيْسَ أَحَدٌ أَعْظَمَ مِنِّي فِي هَذَا الْبَيْتِ. وَلَمْ يَحْجِزْ عَنِّي شَيْئاً غَيْرَكِ لأَنَّكِ امْرَأَتُهُ. فَكَيْفَ أَصْنَعُ هَذَا الأَمْرَ الشِّرِّيرَ وَأُخْطِئُ أَمَامَ اللهِ؟»

١٠وَلَمَّا كَانَتْ تُكَلِّمُ يُوسُفَ يَوْماً فَيَوْماً، أَنَّهُ لَمْ يُطِعْهَا لِكَيْ يَرْقُدَ مَعَهَا لِيَكُونَ مَعَهَا.

١١وَحَدَثَ فِي ذَاتِ يَوْمٍ أَنَّ يُوسُفَ دَخَلَ الْبَيْتَ لِيَعْمَلَ أَعْمَالَهُ، وَلَمْ يَكُنْ أَحَدٌ مِنَ الَّذِينَ فِي الْبَيْتِ فِي الدَّاخِلِ.

١٢فَجَذَبَتْهُ مِنْ ثِيَابِهِ[٣٤٦] قَائِلَةً: «اضْطَجِعْ مَعِي». فَتَرَكَ ثِيَابَهُ فِي يَدَيْهَا وَهَرَبَ وَخَرَجَ إِلَى خَارِجٍ.

١٣وَكَانَ لَمَّا رَأَتْ أَنَّهُ تَرَكَ

χεῖράς μου

9 καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐθὲν ἐμοῦ οὐδὲ ὑπεξῄρηται ἀπ᾽ ἐμοῦ οὐδὲν πλὴν σοῦ διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ θεοῦ;

10 ἡνίκα δὲ ἐλάλει τῷ Ιωσηφ ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουσεν αὐτῇ καθεύδειν μετ᾽ αὐτῆς τοῦ συγγενέσθαι αὐτῇ.

11 ἐγένετο δὲ τοιαύτη τις ἡμέρα, εἰσῆλθεν Ιωσηφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐθεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω,

12 καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων λέγουσα Κοιμήθητι μετ᾽ ἐμοῦ. καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγεν καὶ ἐξῆλθεν ἔξω.

13 καὶ ἐγένετο ὡς εἶδεν ὅτι κατέλιπεν τὰ

---

[٣٤٦] تأتي في القبطي البحيري: ⲁⲥⲙⲟⲗϫⲥ ⲉⲛⲉϥϩⲃⲱⲥ ⲁⲥⲃⲁϣϥ ⲙ̀ⲙⲱⲟⲩ تعلقت بثيابه وعرّته منها.

ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω,

ثِيَابَهُ فِي يَدَيْهَا وَهَرَبَ وَخَرَجَ إِلَى خَارِجٍ،

14 καὶ ἐκάλεσεν τοὺς ὄντας ἐν τῇ οἰκίᾳ καὶ εἶπεν αὐτοῖς λέγουσα Ἴδετε, εἰσήγαγεν ἡμῖν παῖδα Εβραῖον ἐμπαίζειν ἡμῖν· εἰσῆλθεν πρός με λέγων Κοιμήθητι μετ᾽ ἐμοῦ, καὶ ἐβόησα φωνῇ μεγάλῃ·

١٤أَنَّهَا نَادَتْ الَّذِينَ فِي الْبَيْتِ وَكَلَّمَتْهُم قَائلَةً: «انْظُرُوا! قَدْ جَاءَ إِلَيْنَا بِعَبْد عِبْرَانِيٍّ لِيَهْزَأَ بِنَا. دَخَلَ إِلَيَّ قَائلاً: اضْطَجِعِي مَعِي، فَصَرَخْتُ بِصَوْتٍ عَظِيمٍ.

15 ἐν δὲ τῷ ἀκοῦσαι αὐτὸν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ᾽ ἐμοὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω.

١٥وَكَانَ لَمَّا سَمِعَ أَنِّي رَفَعْتُ صَوْتِي وَصَرَخْتُ، تَرَكَ ثِيَابَهُ بِجَانِبِي وَهَرَبَ وَخَرَجَ إِلَى خَارِجٍ».

16 καὶ καταλιμπάνει τὰ ἱμάτια παρ᾽ ἑαυτῇ, ἕως ἦλθεν ὁ κύριος εἰς τὸν οἶκον αὐτοῦ.

١٦فَتَرَكَتْ ثِيَابَهُ بِجَانِبِهَا حَتَّى جَاءَ سَيِّدُهُ إِلَى بَيْتِهِ.

17 καὶ ἐλάλησεν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα λέγουσα Εἰσῆλθεν πρός με ὁ παῖς ὁ Εβραῖος, ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι καὶ εἶπέν μοι Κοιμηθήσομαι μετὰ σοῦ·

١٧فَكَلَّمَتْهُ بِمِثْلِ هَذَا الْكَلاَمِ قَائلَةً: «دَخَلَ إِلَيَّ الْعَبْدُ الْعِبْرَانِيُّ الَّذِي جِئْتَ بِهِ إِلَيْنَا لِيَهْزَأَ بِي، وَقَالَ لِي:

سَأَضْطَجِعُ مَعَكَ[٣٤٧].

١٨فَلَمَّا سَمِعَ أَنِّي رَفَعْتُ صَوْتِي وَصَرَخْتُ، أَنَّهُ تَرَكَ ثِيَابَهُ بِجَانِبِي وَهَرَبَ وَخَرَجَ إِلَى خَارِجٍ».

18 ὡς δὲ ἤκουσεν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, κατέλιπεν τὰ ἱμάτια αὐτοῦ παρ᾽ ἐμοὶ καὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω.

١٩فَكَانَ لَمَّا سَمِعَ سَيِّدُهُ كَلاَمَ امْرَأَته الَّذي كَلَّمَتْهُ به قَائِلَةً: «هَكَذَا صَنَعَ بِي عَبْدُكَ» أَنَّهُ غَضِبَ بِحنَقٍ.

19 ἐγένετο δὲ ὡς ἤκουσεν ὁ κύριος αὐτοῦ τὰ ῥήματα τῆς γυναικὸς αὐτοῦ, ὅσα ἐλάλησεν πρὸς αὐτὸν λέγουσα Οὕτως ἐποίησέν μοι ὁ παῖς σου, καὶ ἐθυμώθη ὀργῇ.

٢٠فَأَخَذَ السَّيِّدُ يُوسُفَ وَطَرَحَهُ فِي الْحصْنِ، فِي الْمَكَانِ الَّذي فيه كَانَ سُجَنَاءُ الْمَلك مَحْبُوسِينَ هُنَاكَ فِي الْحِصْنِ[٣٤٨].

20 καὶ λαβὼν ὁ κύριος Ιωσηφ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, εἰς τὸν τόπον, ἐν ᾧ οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται ἐκεῖ ἐν τῷ ὀχυρώματι.

٢١وَكَانَ الرَّبُّ مَعَ يُوسُفَ، وَسَكَبَ عَلَيْه رَحْمَةً،

21 Καὶ ἦν κύριος μετὰ Ιωσηφ καὶ κατέχεεν αὐτοῦ ἔλεος καὶ ἔδωκεν αὐτῷ

---

[٣٤٧] لا تأتي هذه الجملة الأخيرة في النص العبري. وتأتي في النسخة الإسكندرية من الترجمة السبعينية، وكذلك في الترجمة القبطية البحيرية والصعيدية: «وقال لي اضطجعي معي».

[٣٤٨] يبدو أن الحصن ὀχύρωμα حيث موضع مساجين الملك كان جزءاً مُحصّناً من السجن δεσμωτήριον (عدد٢٢).

وَأَعْطَاهُ نِعْمَةً أَمَامَ رَئِيسِ حَرَسِ السِّجْنِ.	χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος,
٢٢فَدَفَعَ رَئِيسُ حَرَسِ السِّجْنِ إِلَى يَدِ يُوسُفَ السِّجْنَ وَجَمِيعَ الْمُعْتَقَلِينَ الَّذِينَ فِي السِّجْنِ، وَكُلَّ مَا كَانُوا يَعْمَلُونَ هُنَاكَ.	22 καὶ ἔδωκεν ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ιωσηφ καὶ πάντας τοὺς ἀπηγμένους, ὅσοι ἐν τῷ δεσμωτηρίῳ, καὶ πάντα, ὅσα ποιοῦσιν ἐκεῖ.
٢٣وَلَمْ يَكُنْ رَئِيسُ حَرَسِ السِّجْنِ يَعْرِفُ شَيْئًا بِدُونِهِ، لأَنَّ كُلَّ شَيْءٍ كَانَ فِي يَدِ يُوسُفَ بِسَبَبِ أَنَّ الرَّبَّ كَانَ مَعَهُ، وَكُلَّ مَا كَانَ يَصْنَعُ كَانَ الرَّبُّ يُنْجِحُهُ بِيَدَيْهِ.	23 οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων δι᾽ αὐτὸν οὐθέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ιωσηφ διὰ τὸ τὸν κύριον μετ᾽ αὐτοῦ εἶναι, καὶ ὅσα αὐτὸς ἐποίει, κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ.

اَلأَصْحَاحُ الأَرْبَعُونَ

١وَحَدَثَ بَعْدَ هَذِهِ الأُمُورِ أَنْ أَخْطَأَ رَئِيسُ سُقَاةِ مَلِكِ مِصْرَ وَرَئِيسُ الْخَبَّازِينَ إِلَى سَيِّدِهِمَا مَلِكِ مِصْرَ.	1 Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα ἥμαρτεν ὁ ἀρχιοινοχόος τοῦ βασιλέως Αἰγύπτου καὶ ὁ ἀρχισιτοποιὸς τῷ κυρίῳ αὐτῶν βασιλεῖ Αἰγύπτου.
٢فَغَضِبَ فِرْعَوْنُ عَلَى	2 καὶ ὠργίσθη Φαραω ἐπὶ τοῖς δυσὶν

εὐνούχοις αὐτοῦ, ἐπὶ τῷ ἀρχιοινοχόῳ καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ,	خَصِيَّيْه، عَلَى رَئِيسِ السُّقَاةِ وَرَئِيسِ الْخَبَّازِينَ،
3 καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ δεσμοφύλακι εἰς τὸ δεσμωτήριον, εἰς τὸν τόπον, οὗ Ιωσηφ ἀπῆκτο ἐκεῖ.	٣فَوَضَعَهُمَا فِي حَبْسٍ عِنْدَ حَارِسِ السِّجْنِ، فِي السِّجْنِ، فِي الْمَوْضِعِ الَّذِي اقْتِيدَ إِلَيْهِ يُوسُفُ.
4 καὶ συνέστησεν ὁ ἀρχιδεσμώτης τῷ Ιωσηφ αὐτούς, καὶ παρέστη αὐτοῖς· ἦσαν δὲ ἡμέρας ἐν τῇ φυλακῇ.	٤فَأَوْصَى رَئِيسُ السِّجْنِ يُوسُفَ بِهِمَا فَأَقَامَ عِنْدَهُمَا. وَكَانَا أَيَّاماً فِي الْحَبْسِ.
5 καὶ εἶδον ἀμφότεροι ἐνύπνιον, ἑκάτερος ἐνύπνιον, ἐν μιᾷ νυκτὶ ὅρασις τοῦ ἐνυπνίου αὐτοῦ, ὁ ἀρχιοινοχόος καὶ ὁ ἀρχισιτοποιός, οἳ ἦσαν τῷ βασιλεῖ Αἰγύπτου, οἱ ὄντες ἐν τῷ δεσμωτηρίῳ.	٥وَرَأَى كِلاَهُمَا حُلْماً، كُلٌّ مِنْهُمَا حُلْماً، فِي لَيْلَةٍ وَاحِدَةٍ رُؤْيَا حُلْمِهِ، رَئِيسُ السُّقَاةِ وَرَئِيسُ الْخَبَّازِينَ، اللَّذَانِ كَانَا لِمَلِكِ مِصْرَ، اللَّذَانِ فِي السِّجْنِ.
6 εἰσῆλθεν δὲ πρὸς αὐτοὺς Ιωσηφ τὸ πρωὶ καὶ εἶδεν αὐτούς, καὶ ἦσαν τεταραγμένοι.	٦فَدَخَلَ يُوسُفُ إِلَيْهِمَا بَاكِراً وَرَآهُمَا مُضْطَرِبَيْنِ.
7 καὶ ἠρώτα τοὺς εὐνούχους Φαραω, οἳ ἦσαν μετ᾽ αὐτοῦ ἐν τῇ φυλακῇ παρὰ τῷ	٧فَسَأَلَ خَصِيَّيْ فِرْعَوْنَ اللَّذَيْنِ مَعَهُ فِي الْحَبْسِ عِنْدَ

سَيِّده قَائلاً: «مَا بَالُ وَجْهَيْكُمَا مُكْتَئِبَيْنِ الْيَوْمَ؟»

٨أَمَّا هُمَا فَقَالاَ لَهُ: «رَأَيْنَا حُلْماً وَلَيْسَ مُفَسِّرٌ لَهُ الآنَ». فَقَالَ لَهُمَا يُوسُفُ: «أَلَيْسَ بِوَاسِطَةِ اللهِ تَفْسِيرُهُمَا؟ إِذاً قُصَّا عَلَيَّ».

٩فَقَصَّ رَئِيسُ السُّقَاةِ حُلْمَهُ عَلَى يُوسُفَ وَقَالَ: «كَانَتْ فِي حُلْمِي كَرْمَةٌ أَمَامِي.

١٠وَفِي الْكَرْمَةِ ثَلاَثَةُ قُضْبَانٍ. وَهِيَ إِذْ أَزْهَرَتْ أَخْرَجَتْ سِيقَانَ، عَنَاقِيدَ عِنَبٍ نَاضِجَةً.

١١وَكَانَتْ كَأْسُ فِرْعَوْنَ فِي يَدِي. فَأَخَذْتُ الْعِنَبَ وَعَصَرْتُهُ فِي الْكَأْسِ وَأَعْطَيْتُ الْكَأْسَ فِي يَدَيْ فِرْعَوْنَ».

١٢فَقَالَ لَهُ يُوسُفُ: «هذَا تَفْسِيرُهُ: الثَّلاَثَةُ الْقُضْبَانِ هِيَ

κυρίῳ αὐτοῦ, λέγων Τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον;

8 οἱ δὲ εἶπαν αὐτῷ Ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. εἶπεν δὲ αὐτοῖς Ιωσηφ Οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν; διηγήσασθε οὖν μοι.

9 καὶ διηγήσατο ὁ ἀρχιοινοχόος τὸ ἐνύπνιον αὐτοῦ τῷ Ιωσηφ καὶ εἶπεν Ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου·

10 ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ θάλλουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι οἱ βότρυες σταφυλῆς.

11 καὶ τὸ ποτήριον Φαραω ἐν τῇ χειρί μου· καὶ ἔλαβον τὴν σταφυλὴν καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον καὶ ἔδωκα τὸ ποτήριον εἰς τὰς χεῖρας Φαραω.

12 καὶ εἶπεν αὐτῷ Ιωσηφ Τοῦτο ἡ σύγκρισις αὐτοῦ· οἱ τρεῖς πυθμένες τρεῖς

ثَلاَثَةُ أَيَّامٍ.

ἡμέραι εἰσίν·

١٣بَعْدَ ثَلاَثَةِ أَيَّامٍ أَيْضاً يَذْكُرُ فِرْعَوْنُ رِئَاسَتَكَ وَيَرُدُّكَ إِلَى رِئَاسَتِكَ لِلسُّقَاةِ، فَتُعْطِي كَأْسَ فِرْعَوْنَ فِي يَدِهِ كَرِئَاسَتِكَ الأُولَى حِينَ كُنْتَ سَاقِيَهُ.

13 ἔτι τρεῖς ἡμέραι καὶ μνησθήσεται Φαραω τῆς ἀρχῆς σου καὶ ἀποκαταστήσει σε ἐπὶ τὴν ἀρχιοινοχοΐαν σου, καὶ δώσεις τὸ ποτήριον Φαραω εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν.

١٤لَكِنِ اذْكُرْنِي عِنْدَكَ حِينَمَا يَصِيرُ لَكَ خَيْرٌ، وَتَصْنَعُ إِلَيَّ رَحْمَةً وَتَذْكُرُنِي لِفِرْعَوْنَ وَتُخْرِجُنِي مِنْ هَذَا الْحِصْنِ.

14 ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται, καὶ ποιήσεις ἐν ἐμοὶ ἔλεος καὶ μνησθήσῃ περὶ ἐμοῦ Φαραω καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου·

١٥لأَنِّي قَدْ سُرِقْتُ سَرِقَةً مِنْ أَرْضِ الْعِبْرَانِيِّينَ. وَهُنَا لَمْ أَفْعَلْ شَيْئاً لَكِنْ أَلْقَوْنِي فِي هَذَا الْجُبِّ».

15 ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Εβραίων καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ᾽ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον.

١٦وَرَأَى رَئِيسُ الْخَبَّازِينَ أَنَّهُ فَسَّرَ حَسَناً، فَقَالَ لِيُوسُفَ: «وَأَنَا أَيْضاً رَأَيْتُ حُلْماً، تَهَيَّأَ لِي أَنِّي أَحْمِلُ عَلَى رَأْسِي ثَلاَثَةَ سِلاَلِ

16 καὶ εἶδεν ὁ ἀρχισιτοποιὸς ὅτι ὀρθῶς συνέκρινεν, καὶ εἶπεν τῷ Ιωσηφ Κἀγὼ εἶδον ἐνύπνιον καὶ ᾤμην τρία κανᾶ χονδριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου·

خُبْزٍ[٣٤٩].

١٧وَفِي السَّلِّ الأَعْلَى مِنْ كُلِّ الأَصْنَافِ الَّتِي يَأْكُلُهَا الْمَلِكُ فِرْعَوْنُ مِنْ صَنْعَةِ الْخَبَّازِ. وَطُيُورُ السَّمَاءِ تَأْكُلُهَا مِنَ السَّلِّ الَّذِي فَوْقَ رَأْسِي».

17 ἐν δὲ τῷ κανῷ τῷ ἐπάνω ἀπὸ πάντων τῶν γενῶν, ὧν ὁ βασιλεὺς Φαραω ἐσθίει, ἔργον σιτοποιοῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατήσθιεν αὐτὰ ἀπὸ τοῦ κανοῦ τοῦ ἐπάνω τῆς κεφαλῆς μου.

١٨فَأَجَابَ يُوسُفُ وَقَالَ لَهُ: «هَذَا تَفْسِيرُهُ: الثَّلاَثَةُ السِّلاَلِ هِيَ ثَلاَثَةُ أَيَّامٍ.

18 ἀποκριθεὶς δὲ Ιωσηφ εἶπεν αὐτῷ Αὕτη ἡ σύγκρισις αὐτοῦ· τὰ τρία κανᾶ τρεῖς ἡμέραι εἰσίν·

١٩بَعْدَ ثَلاَثَةِ أَيَّامٍ يَنْزِعُ فِرْعَوْنُ رَأْسَكَ عَنْكَ وَيُعَلِّقُكَ عَلَى خَشَبَةٍ، وَتَأْكُلُ طُيُورُ السَّمَاءِ لَحْمَكَ عَنْكَ».

19 ἔτι τριῶν ἡμερῶν ἀφελεῖ Φαραω τὴν κεφαλήν σου ἀπὸ σοῦ καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας σου ἀπὸ σοῦ.

٢٠فَحَدَثَ فِي الْيَوْمِ الثَّالِثِ أَنَّه كَانَ يَوْمَ مِيلاَدِ فِرْعَوْنَ، فَصَنَعَ وَلِيمَةً شُرْبٍ لِجَمِيعِ عَبِيدِهِ. وَذَكَرَ رِئَاسَةَ رَئِيسِ السُّقَاةِ وَرِئَاسَةَ رَئِيسِ

20 ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἡμέρα γενέσεως ἦν Φαραω, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ. καὶ ἐμνήσθη τῆς ἀρχῆς τοῦ ἀρχιοινοχόου καὶ τῆς ἀρχῆς τοῦ ἀρχισιτοποιοῦ ἐν μέσῳ τῶν παίδων αὐτοῦ

---

[٣٤٩] الكلمة اليونانية κανᾶ تعني سلالاً مصنوعة من القصب أو الغاب مخصصة لوضع الخبز χονδρίτης (نوع من الخبز مصنوع من حبوب القمح الكاملة). وعبارة: «سلال خبز»، تعني اسم السلال وليس ما تحمله السلال.

الْخَبَّازِينَ فِي وَسَطِ عَبِيدِه.	
٢١وَرَدَّ رَئِيسَ السُّقَاةِ إِلَى رِئَاسَتِه، فَأَعْطَى الْكَأْسَ فِي يَدِ فِرْعَوْنَ.	21 καὶ ἀπεκατέστησεν τὸν ἀρχιοινοχόον ἐπὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ἔδωκεν τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραω,
٢٢وَأَمَّا رَئِيسُ الْخَبَّازِينَ فَعَلَّقَهُ، كَمَا فَسَّرَ لَهُمَا يُوسُفُ.	22 τὸν δὲ ἀρχισιτοποιὸν ἐκρέμασεν, καθὰ συνέκρινεν αὐτοῖς Ιωσηφ.
٢٣وَلَكِنْ لَمْ يَذْكُرْ رَئِيسُ السُّقَاةِ يُوسُفَ بَلْ نَسِيَهُ.	23 οὐκ ἐμνήσθη δὲ ὁ ἀρχιοινοχόος τοῦ Ιωσηφ, ἀλλὰ ἐπελάθετο αὐτοῦ.

اَلأَصْحَاحُ الْحَادِي وَالأَرْبَعُونَ

١وَحَدَثَ مِنْ بَعْدِ سَنَتَيْنِ مِنَ الزَّمَانِ أَنَّ فِرْعَوْنَ رَأَى حُلْماً، تَهَيَّأَ لَهُ أَنَّهُ وَاقِفٌ عَلَى النَّهْرِ.	1 Ἐγένετο δὲ μετὰ δύο ἔτη ἡμερῶν Φαραω εἶδεν ἐνύπνιον. ᾤετο ἑστάναι ἐπὶ τοῦ ποταμοῦ,
٢وَهُوَذَا كَأَنَّ سَبْعَ بَقَرَاتٍ طَلَعَتْ مِنَ النَّهْرِ، حَسَنَةَ الْمَنْظَرِ وَمُخْتَارَةَ اللَّحْمِ، فَكَانَتْ تَرْعَى فِي	2 καὶ ἰδοὺ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ βόες καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξὶν καὶ ἐβόσκοντο ἐν τῷ ἄχει·

الْخُضْرَةِ[٣٥٠].

٣وَسَبْعُ بَقَرَاتٍ أُخْرَى طَلَعَتْ وَرَاءَهَا مِنَ النَّهْرِ قَبِيحَةُ الْمَنْظَرِ وَهَزِيلَةُ اللَّحْمِ. فَكَانَتْ تُعَالُ بِجَانِبِ الْبَقَرَاتِ (الأُولَى) عَلَى شَاطِئِ النَّهْرِ.

3 ἄλλαι δὲ ἑπτὰ βόες ἀνέβαινον μετὰ ταύτας ἐκ τοῦ ποταμοῦ αἰσχραὶ τῷ εἴδει καὶ λεπταὶ ταῖς σαρξὶν καὶ ἐνέμοντο παρὰ τὰς βόας παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ·

٤فَالْتَهَمَت الْسَّبعُ الْبَقَرَاتُ الْقَبِيحَةُ وَالْهَزِيلَةُ اللَّحْمِ الْبَقَرَاتِ السَّبْعَ الْحَسَنَةَ الْمَنْظَرِ وَالْمُخْتَارَةَ. وَاسْتَيْقَظَ فِرْعَوْنُ.

4 καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰσχραὶ καὶ λεπταὶ ταῖς σαρξὶν τὰς ἑπτὰ βόας τὰς καλὰς τῷ εἴδει καὶ τὰς ἐκλεκτάς. ἠγέρθη δὲ Φαραω.

٥ثُمَّ حَلُمَ ثَانِيَةً، وَهُوَذَا سَبْعُ سَنَابِلَ طَلَعَتْ فِي سَاقٍ وَاحِدٍ مُخْتَارَةً وَحَسَنَةً.

5 καὶ ἐνυπνιάσθη τὸ δεύτερον, καὶ ἰδοὺ ἑπτὰ στάχυες ἀνέβαινον ἐν πυθμένι ἑνὶ ἐκλεκτοὶ καὶ καλοί·

٦وَسَبْعُ سَنَابِلَ أُخْرَى هَزِيلَةً وَمَلْفُوحَةً بِالرِّيحِ نَبَتَتْ بَعْدَهَا.

6 ἄλλοι δὲ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο μετ᾽ αὐτούς·

٧فَابْتَلَعَت السَّبْعُ السَّنَابِلُ

7 καὶ κατέπιον οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ

---

[٣٥٠] تأتي في العبري אָחוּ (أحو) وتعني النبات الأخضر (البردي) المحيط بنهر النيل، ومنها اشتُقت كلمة دخيلة على اليونانية ἄχι وهي غير مستعملة إلا في السبعينية. والكلمتان العبرية واليونانية من أصل مصري قديم. وهي تأتي في القبطي البحيري ⲁϧⲓ، وفي القبطي الصعيدي ⲁϩⲣⲉ. وقد وردت في العبرية خارج سفر التكوين في سفر أيوب (أي ٨: ١١). وتُرجمت: الحلفاء. أما في اليونانية فقد وردت في سفر إشعياء (إش ١٩:٧) وفي حكمة ابن سيراخ (سي٤٠: ١٦).

الهَزِيلَةُ وَالْمَلْفُوحَةُ بِالرِّيحِ السَّنَابِلَ السَّبْعَ الْمُخْتَارَةَ الْمُمْتَلِئَةَ. وَاسْتَيْقَظَ فِرْعَوْنُ، وَكَانَ حُلْماً.

καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας τοὺς ἐκλεκτοὺς καὶ τοὺς πλήρεις. ἠγέρθη δὲ Φαραω, καὶ ἦν ἐνύπνιον.

٨وَكَانَ فِي الصَّبَاحِ أَنَّ نَفْسَهُ انْزَعَجَتْ، فَأَرْسَلَ وَدَعَا جَمِيعَ مُفَسِّرِي مِصْرَ وَجَمِيعَ حُكَمَائِهَا، وَقَصَّ عَلَيْهِمْ فِرْعَوْنُ الْحُلْمَ. فَلَمْ يَكُنْ مَنْ يُخْبِرُ فِرْعَوْنَ بِهِ.

8 Ἐγένετο δὲ πρωὶ καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἀποστείλας ἐκάλεσεν πάντας τοὺς ἐξηγητὰς Αἰγύπτου καὶ πάντας τοὺς σοφοὺς αὐτῆς, καὶ διηγήσατο αὐτοῖς Φαραω τὸ ἐνύπνιον, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραω.

٩ثُمَّ كَلَّمَ رَئِيسُ السُّقَاةِ فِرْعَوْنَ قَائِلاً: «أَتَذَكَّرُ الْيَوْمَ خَطِيئَتِي.

9 καὶ ἐλάλησεν ὁ ἀρχιοινοχόος πρὸς Φαραω λέγων Τὴν ἁμαρτίαν μου ἀναμιμνῄσκω σήμερον·

١٠فِرْعَوْنُ سَخِطَ عَلَى عَبْدَيْهِ وَوَضَعَنَا فِي الْحَبْسِ فِي بَيْتِ رَئِيسِ الْحَرَسِ، أَنَا وَرَئِيسَ الْخَبَّازِينَ.

10 Φαραω ὠργίσθη τοῖς παισὶν αὐτοῦ καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ἐν τῷ οἴκῳ τοῦ ἀρχιμαγείρου, ἐμέ τε καὶ τὸν ἀρχισιτοποιόν.

١١فَرَأَيْنَا حُلْماً فِي لَيْلَةٍ وَاحِدَةٍ، أَنَا وَهُوَ. رَأَيْنَا كُلُّ وَاحِدٍ بِحَسَبِ حُلْمِهِ.

11 καὶ εἴδομεν ἐνύπνιον ἐν νυκτὶ μιᾷ, ἐγώ τε καὶ αὐτός, ἕκαστος κατὰ τὸ αὐτοῦ ἐνύπνιον εἴδομεν.

12 ἦν δὲ ἐκεῖ μεθ᾽ ἡμῶν νεανίσκος παῖς Εβραῖος τοῦ ἀρχιμαγείρου, καὶ διηγησάμεθα αὐτῷ, καὶ συνέκρινεν ἡμῖν.

١٢وَكَانَ هُنَاكَ مَعَنَا شَابٌّ عِبْرَانِيٌّ عَبْدٌ لِرَئِيسِ الْحَرَسِ، فَقَصَصْنَا عَلَيْهِ، فَفَسَّرَ لَنَا[٣٥١].

13 ἐγενήθη δὲ καθὼς συνέκρινεν ἡμῖν, οὕτως καὶ συνέβη, ἐμέ τε ἀποκατασταθῆναι ἐπὶ τὴν ἀρχήν μου, ἐκεῖνον δὲ κρεμασθῆναι.

١٣وَكَانَ كَمَا فَسَّرَ لَنَا هَكَذَا حَدَثَ أَنِّي رَجعْتُ إِلَى رِئَاسَتِي، وَأَمَّا ذَاكَ فَعُلِّقَ».

14 Ἀποστείλας δὲ Φαραω ἐκάλεσεν τὸν Ιωσηφ, καὶ ἐξήγαγον αὐτὸν ἐκ τοῦ ὀχυρώματος καὶ ἐξύρησαν αὐτὸν καὶ ἤλλαξαν τὴν στολὴν αὐτοῦ, καὶ ἦλθεν πρὸς Φαραω.

١٤فَأَرْسَلَ فِرْعَوْنُ وَدَعَا يُوسُفَ، فَأَخْرَجُوهُ مِنَ الْحِصْنِ. وَحَلَقُوا لَهُ، وَأَبْدَلُوا ثَوْبَهُ، وَجَاءَ إِلَى فِرْعَوْنَ.

15 εἶπεν δὲ Φαραω τῷ Ιωσηφ Ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό· ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ λεγόντων ἀκούσαντά σε ἐνύπνια συγκρῖναι αὐτά.

١٥فَقَالَ فِرْعَوْنُ لِيُوسُفَ: «رَأَيْتُ حُلْماً وَلَيْسَ مُفَسِّرٌ لَهُ. وَأَنَا سَمِعْتُ عَنْكَ أَنَّهُمْ يَقُولُون إِنَّكَ إِذَا سَمِعْتَ أَحْلاَماً تُفَسِّرُهَا».

16 ἀποκριθεὶς δὲ Ιωσηφ τῷ Φαραω εἶπεν Ἄνευ τοῦ θεοῦ οὐκ ἀποκριθήσεται τὸ

١٦فَأَجَابَ يُوسُفُ فِرْعَوْنَ وَقَالَ: «بِدُونِ اللهِ لَنْ يُعْطَى

---

[٣٥١] في النص العبري: «عبَّر لكل واحد بحسب حلمه».

جَوَابٌ بِسَلاَمَةِ فِرْعَوْنَ»[٣٥٢].	σωτήριον Φαραω.
١٧فَكَلَّمَ فِرْعَوْنُ يُوسُفَ قَائِلاً: «فِي حُلْمِي تَهَيَّأَ لِي أَنِّي وَاقِفٌ عَلَى شَاطِئِ النَّهْرِ.	17 ἐλάλησεν δὲ Φαραω τῷ Ιωσηφ λέγων Ἐν τῷ ὕπνῳ μου ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ,
١٨وَكَمِثْلِ سَبْعِ بَقَرَاتٍ طَلَعَتْ مِنَ النَّهْرِ حَسَنَةِ الصُّورَةِ وَمُخْتَارَةِ اللَّحْمِ، فَكَانَتْ تَرْعَى فِي الْخُضْرَةِ.	18 καὶ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ βόες καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξὶν καὶ ἐνέμοντο ἐν τῷ ἄχει·
١٩ثُمَّ هُوَذَا سَبْعُ بَقَرَاتٍ أُخْرَى طَلَعَتْ وَرَاءَهَا مِنَ النَّهْرِ رَدِيئَاتٍ وَقَبِيحَةَ الصُّورَةِ وَهَزِيلَةَ اللَّحْمِ. مَا رَأَيْتُ أَقْبَحَ مِنْ هَذِهِ فِي كُلِّ أَرْضِ مِصْرَ.	19 καὶ ἰδοὺ ἑπτὰ βόες ἕτεραι ἀνέβαινον ὀπίσω αὐτῶν ἐκ τοῦ ποταμοῦ πονηραὶ καὶ αἰσχραὶ τῷ εἴδει καὶ λεπταὶ ταῖς σαρξίν, οἵας οὐκ εἶδον τοιαύτας ἐν ὅλῃ γῇ Αἰγύπτῳ αἰσχροτέρας·
٢٠فَالْتَهَمَتِ السَّبْعُ الْبَقَرَاتُ الْقَبِيحَةُ وَالْهَزِيلَةُ السَّبْعَ الْبَقَرَاتِ الأُولَى الْحَسَنَةَ وَالْمُخْتَارَةَ.	20 καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰσχραὶ καὶ λεπταὶ τὰς ἑπτὰ βόας τὰς πρώτας τὰς καλὰς καὶ ἐκλεκτάς,
٢١فَدَخَلَتْ بُطُونَهَا. وَلَمْ يَتَبَيَّنْ أَنَّهَا دَخَلَتْ فِي بُطُونِهَا.	21 καὶ εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν καὶ οὐ διάδηλοι ἐγένοντο ὅτι εἰσῆλθον εἰς

[٣٥٢] في النص العبري: «ليس لي، الله يجيب بسلامة فرعون». وتتفق مخطوطات قمران 4QGen[j] مع الترجمة السبعينية.

فَكَانَ مَنْظَرُهَا قَبِيحاً كَمَا فِي الأَوَّلِ. وَاسْتَيْقَظْتُ ثُمَّ نِمْتُ،

τὰς κοιλίας αὐτῶν, καὶ αἱ ὄψεις αὐτῶν αἰσχραὶ καθὰ καὶ τὴν ἀρχήν. ἐξεγερθεὶς δὲ ἐκοιμήθην

٢٢فَرَأَيْتُ أَيْضاً فِي حُلْمِي وَكَأَنَّ سَبْعَ سَنَابِلَ طَلَعَتْ فِي سَاقٍ وَاحِدٍ مُمْتَلِئَةً وَحَسَنَةً.

22 καὶ εἶδον πάλιν ἐν τῷ ὕπνῳ μου, καὶ ὥσπερ ἑπτὰ στάχυες ἀνέβαινον ἐν πυθμένι ἑνὶ πλήρεις καὶ καλοί·

٢٣وسَبْعَ سَنَابِلَ أُخْرَى هَزِيلَةً وَمَلْفُوحَةً بِالرِّيحِ نَبَتَتْ بِجِوَارِهَا.

23 ἄλλοι δὲ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο ἐχόμενοι αὐτῶν·

٢٤فَابْتَلَعَتِ السَّبْعُ[٣٥٣] السَّنَابِلُ الهَزِيلَةُ وَالْمَلْفُوحَةُ السَّنَابِلَ السَّبْعَ الْحَسَنَةَ وَالْمُمْتَلِئَةَ. فَقُلْتُ لِلْمُفَسِّرِينَ، وَلَمْ يَكُنْ مَنْ يُخْبِرُنِي».

24 καὶ κατέπιον οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας τοὺς καλοὺς καὶ τοὺς πλήρεις. εἶπα οὖν τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων μοι.

٢٥فَقَالَ يُوسُفُ لِفِرْعَوْنَ: «حُلْمُ فِرْعَوْنَ وَاحِدٌ. فَكُلُّ مَا يَفْعَلُهُ اللهُ قَدْ أَظْهَرَهُ لِفِرْعَوْنَ.

25 Καὶ εἶπεν Ιωσηφ τῷ Φαραω Τὸ ἐνύπνιον Φαραω ἕν ἐστιν· ὅσα ὁ θεὸς ποιεῖ, ἔδειξεν τῷ Φαραω.

٢٦اَلْبَقَرَاتُ السَّبْعُ الْحَسَنَةُ هِيَ سَبْعُ سِنِينَ. وَالسَّنَابِلُ

26 αἱ ἑπτὰ βόες αἱ καλαὶ ἑπτὰ ἔτη ἐστίν, καὶ οἱ ἑπτὰ στάχυες οἱ καλοὶ ἑπτὰ ἔτη

[٣٥٣] لا يأتي الرقم سبعة في النص العبري، وتتفق مخطوطات قمران 4QGenʲ مع الترجمة السبعينية.

السَّبْعُ الْحَسَنَةُ هِيَ سَبْعُ سِنِينَ. حُلْمُ فِرْعَوْنَ هُوَ وَاحِدٌ.

ἐστίν· τὸ ἐνύπνιον Φαραω ἕν ἐστιν.

٢٧وَالْبَقَرَاتُ السَّبْعُ الْهَزِيلَةُ الَّتِي طَلَعَتْ وَرَاءَهَا هِيَ سَبْعُ سِنِينَ. وَالسَّنَابِلُ السَّبْعُ الْهَزِيلَةُ الْمَلْفُوحَةُ بِالرِّيحِ سَتَكُونُ سَبْعَ سِنِينَ جُوعاً.

27 καὶ αἱ ἑπτὰ βόες αἱ λεπταὶ αἱ ἀναβαίνουσαι ὀπίσω αὐτῶν ἑπτὰ ἔτη ἐστίν, καὶ οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι ἔσονται ἑπτὰ ἔτη λιμοῦ.

٢٨هُوَ الأَمْرُ الَّذِي كَلَّمْتُ بِهِ فِرْعَوْنَ: كُلُّ مَا يَفْعَلُهُ اللهُ قَدْ أَظْهَرَهُ لِفِرْعَوْنَ.

28 τὸ δὲ ῥῆμα, ὃ εἴρηκα Φαραω Ὅσα ὁ θεὸς ποιεῖ, ἔδειξεν τῷ Φαραω,

٢٩هُوَذَا تَأْتِي سَبْعُ سِنِينَ رَخَاءً كَثِيراً فِي كُلِّ أَرْضِ مِصْرَ.

29 ἰδοὺ ἑπτὰ ἔτη ἔρχεται εὐθηνία πολλὴ ἐν πάσῃ γῇ Αἰγύπτῳ·

٣٠ثُمَّ تَأْتِي بَعْدَ هَذِهِ سَبْعُ سِنِينَ جُوعاً، فَيَنْسَوْنَ الشِّبَعَ فِي كُلِّ أَرْضِ مِصْرَ، وَيُتْلِفُ الْجُوعُ الأَرْضَ.

30 ἥξει δὲ ἑπτὰ ἔτη λιμοῦ μετὰ ταῦτα, καὶ ἐπιλήσονται τῆς πλησμονῆς ἐν ὅλῃ γῇ Αἰγύπτῳ, καὶ ἀναλώσει ὁ λιμὸς τὴν γῆν,

٣١وَلاَ يُعْرَفُ الرَّخَاءُ عَلَى الأَرْضِ بِسَبَبِ الْجُوعِ الَّذِي سَيَكُونُ بَعْدَ هَذَا، لأَنَّهُ

31 καὶ οὐκ ἐπιγνωσθήσεται ἡ εὐθηνία ἐπὶ τῆς γῆς ἀπὸ τοῦ λιμοῦ τοῦ ἐσομένου μετὰ ταῦτα· ἰσχυρὸς γὰρ ἔσται σφόδρα.

سَيَكُونُ شَدِيداً جِدّاً.

٣٢وَأَمَّا عَنْ تَكْرَارِ الْحُلْمِ عَلَى فِرْعَوْنَ مَرَّتَيْنِ فَلأَنَّ الأَمْرَ حَقٌّ مِنْ قِبَلِ اللهِ، وَاللهُ سَيَفْعَلُهُ سَرِيعاً.

32 περὶ δὲ τοῦ δευτερῶσαι τὸ ἐνύπνιον Φαραω δίς, ὅτι ἀληθὲς ἔσται τὸ ῥῆμα τὸ παρὰ τοῦ θεοῦ, καὶ ταχυνεῖ ὁ θεὸς τοῦ ποιῆσαι αὐτό.

٣٣«إِذاً الآنَ تَطَلَّعْ إِلَى رَجُلٍ بَصِيرٍ وَحَكِيمٍ وَأَقِمْهُ عَلَى أَرْضِ مِصْرَ.

33 νῦν οὖν σκέψαι ἄνθρωπον φρόνιμον καὶ συνετὸν καὶ κατάστησον αὐτὸν ἐπὶ γῆς Αἰγύπτου·

٣٤وَلْيَفْعَلْ فِرْعَوْنُ فَيُوَكِّلْ نُظَّاراً عَلَى الأَرْضِ وَلْيَأْخُذُوا خُمْسَ كُلِّ غَلاَّتِ أَرْضِ مِصْرَ فِي سَبْعِ سِنِي الرَّخَاءِ.

34 καὶ ποιησάτω Φαραω καὶ καταστησάτω τοπάρχας ἐπὶ τῆς γῆς, καὶ ἀποπεμπτωσάτωσαν πάντα τὰ γενήματα τῆς γῆς Αἰγύπτου τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας

٣٥وَلْيَجْمَعُوا جَمِيعَ طَعَامِ هذِهِ السِّنِينَ الْجَيِّدَةِ الْقَادِمَةِ، وَلْيُجْمَعِ الْقَمْحُ تَحْتَ يَدِ فِرْعَوْنَ، وَلْتُحْفَظْ أَطْعِمَةٌ فِي الْمُدُنِ.

35 καὶ συναγαγέτωσαν πάντα τὰ βρώματα τῶν ἑπτὰ ἐτῶν τῶν ἐρχομένων τῶν καλῶν τούτων, καὶ συναχθήτω ὁ σῖτος ὑπὸ χεῖρα Φαραω, βρώματα ἐν ταῖς πόλεσιν φυλαχθήτω·

٣٦فَتَكُونُ الأَطْعِمَةُ مَحْفُوظَةً لِلأَرْضِ لِسَبْعِ سِنِي

36 καὶ ἔσται τὰ βρώματα πεφυλαγμένα τῇ γῇ εἰς τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ, ἃ ἔσονται

الْجُوعِ الَّتِي سَتَكُونُ فِي أَرْضِ مِصْرَ. فَلاَ تُمْحَى الأَرْضُ بِالْجُوعِ».

ἐν γῇ Αἰγύπτῳ, καὶ οὐκ ἐκτριβήσεται ἡ γῆ ἐν τῷ λιμῷ.

٣٧فَحَسُنَ الْكَلاَمُ أَمَامَ فِرْعَوْنَ وَأَمَامَ جَمِيعِ عَبِيدِهِ.

37 Ἤρεσεν δὲ τὰ ῥήματα ἐναντίον Φαραω καὶ ἐναντίον πάντων τῶν παίδων αὐτοῦ,

٣٨وَقَالَ فِرْعَوْنُ لِجَمِيعِ عَبِيدِهِ: «هَلْ نَجِدُ إِنْسَاناً مِثْلَ هَذَا فِيهِ رُوحُ اللهِ؟»

38 καὶ εἶπεν Φαραω πᾶσιν τοῖς παισὶν αὐτοῦ Μὴ εὑρήσομεν ἄνθρωπον τοιοῦτον, ὃς ἔχει πνεῦμα θεοῦ ἐν αὐτῷ;

٣٩ثُمَّ قَالَ فِرْعَوْنُ لِيُوسُفَ: «حَيْثُ إِنَّ اللهَ أَرَاكَ كُلَّ هَذَا، فَلَيْسَ إِنسَانٌ أَكْثَرُ فَهْماً وَأَكْثَرُ حِكْمَةً مِنْكَ.

39 εἶπεν δὲ Φαραω τῷ Ιωσηφ Ἐπειδὴ ἔδειξεν ὁ θεός σοι πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερος καὶ συνετώτερός σου·

٤٠أَنْتَ تَكُونُ عَلَى بَيْتِي، وَجَمِيعُ شَعْبِي يُطِيعُ كَلِمَةَ فَمِكَ. إِلاَّ إِنَّ الْعَرْشَ أَكُونُ فِيهِ أَعْظَمَ مِنْكَ».

40 σὺ ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ ἐπὶ τῷ στόματί σου ὑπακούσεται πᾶς ὁ λαός μου· πλὴν τὸν θρόνον ὑπερέξω σου ἐγώ.

٤١ثُمَّ قَالَ فِرْعَوْنُ لِيُوسُفَ: «هُوَذَا قَدْ أَقَمْتُكَ الْيَوْمَ عَلَى كُلِّ أَرْضِ مِصْرَ».

41 εἶπεν δὲ Φαραω τῷ Ιωσηφ Ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πάσης γῆς Αἰγύπτου.

٤٢وَخَلَعَ فِرْعَوْنُ خَاتِمَهُ مِنْ يَدِه وَجَعَلَهُ فِي يَدِ يُوسُفَ وَأَلْبَسَهُ ثَوْبَ بَزٍّ[٣٥٤] وَوَضَعَ طَوْقَ ذَهَبٍ فِي عُنُقِه،

42 καὶ περιελόμενος Φαραω τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ περιέθηκεν αὐτὸν ἐπὶ τὴν χεῖρα Ιωσηφ καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσσίνην καὶ περιέθηκεν κλοιὸν χρυσοῦν περὶ τὸν τράχηλον αὐτοῦ·

٤٣وَأَرْكَبَهُ فِي الْمَرْكَبَةِ الثَّانِيَةِ مِنْ مَرْكَبَاتِه، وَنَادَى مُنَادٍ أَمَامَهُ[٣٥٥]، وَأَقَامَهُ عَلَى كُلِّ أَرْضِ مِصْرَ.

43 καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δεύτερον τῶν αὐτοῦ, καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κῆρυξ· καὶ κατέστησεν αὐτὸν ἐφ᾿ ὅλης γῆς Αἰγύπτου.

٤٤وَقَالَ فِرْعَوْنُ لِيُوسُفَ: «أَنَا فِرْعَوْنُ. فَبِدُونِكَ لاَ يَرْفَعُ أَحَدٌ يَدَهُ فِي كُلِّ أَرْضِ مِصْرَ».

44 εἶπεν δὲ Φαραω τῷ Ιωσηφ Ἐγὼ Φαραω· ἄνευ σοῦ οὐκ ἐξαρεῖ οὐθεὶς τὴν χεῖρα αὐτοῦ ἐπὶ πάσῃ γῇ Αἰγύπτου.

---

[٣٥٤] تأتي كلمة البز في النص العبري שֵׁשׁ (شِش) وهي كلمة ليست عبرية، بل مصرية قديمة، وهو اسم قماش رقيق مصنوع من الكتان، ومنه اشتق الاسم القبطي ϣⲉⲛⲥ التي ترد في الترجمة القبطية البحيرية. وقد استُبدلت كلمة (شِش) المصرية في كتابات ما بعد السبي بالكلمة العبرية בּוּץ (بوص) (حز ٢٧: ١٦). وقد عُثر على البز ملفوفاً على المومياوات الملكية. ومن كلمة بوص جاءت الكلمة اليونانية الواردة هنا βυσσίνην.

[٣٥٥] تأتي في النص العبري: «ونادوا أمامه: אַבְרֵךְ (أبريخا)» وكلمة (أبريخا) ليست عبرية، بل على الأرجح كلمة مصرية قديمة (ʼb r-k)، بمعنى: انتبهوا (حرفياً: قلبك إليك)، لكن تُرجمت الكلمة العبرية في الترجمة اللاتينية الفولجاتا إلى: اركعوا، ومنها دخلت إلى الترجمات الحديثة. أما الترجمة اليونانية والقبطية فتأتي: ونادى مُناد أمامه.

٤٥وَدَعَا فِرْعَوْنُ اسْمَ يُوسُفَ «صَفْنَاتَ فَعْنِيحَ»[٣٥٦]. وَأَعْطَاهُ أَسْنَاتَ[٣٥٧] بِنْتَ فُوطِيفَارَ[٣٥٨] كَاهِنِ مَدِينَةِ الشَّمْسِ[٣٥٩] زَوْجَةً[٣٦٠].

45 καὶ ἐκάλεσεν Φαραω τὸ ὄνομα Ιωσηφ Ψονθομ φανηχ· καὶ ἔδωκεν αὐτῷ τὴν Ασεννεθ θυγατέρα Πετεφρη ἱερέως Ἡλίου πόλεως αὐτῷ γυναῖκα.

٤٦وَكَانَ يُوسُفُ ابْنَ ثَلاَثِينَ سَنَةً لَمَّا وَقَفَ أَمَامَ فِرْعَوْنَ مَلِكِ مِصْرَ. فَخَرَجَ يُوسُفُ مِنْ وَجْهِ فِرْعَوْنَ وَاجْتَازَ كُلَّ أَرْضِ مِصْرَ.

46 Ιωσηφ δὲ ἦν ἐτῶν τριάκοντα, ὅτε ἔστη ἐναντίον Φαραω βασιλέως Αἰγύπτου. Ἐξῆλθεν δὲ Ιωσηφ ἐκ προσώπου Φαραω καὶ διῆλθεν πᾶσαν γῆν Αἰγύπτου.

٤٧ [٣٦١]وَأَنْتَجَتِ الأَرْضُ فِي سَبْعِ سِنِي الرَّخَاءِ حُزَماً.

47 καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσιν τῆς εὐθηνίας δράγματα·

٤٨فَجَمَعَ كُلَّ طَعَامِ السَّبْعِ

48 καὶ συνήγαγεν πάντα τὰ βρώματα

---

[٣٥٦] يأتي الاسم في النص العبري צָפְנַת פַּעְנֵחַ (صفنات بعنياح) وهو اسم مصري قديم، ربما يعني: مخلص العالم، ويرى بعض علماء المصريات أنه ربما يعني: تكلم الله فعاش (الإنسان)، أو قد يعني: الذي يعطي الطعام للحياة. وقد جاء باليونانية Ψονθομφανηχ، وبالقبطية **ⲯⲟⲛⲑⲟⲙ ϥⲁⲛⲏⲭ**.

[٣٥٧] أسنات اسم مصري يعني: تنتمي للإلهه نت.

[٣٥٨] يأتي الاسم في النص العبري פּוֹטִי פֶרַע (فوطي بيرع) وهو مختلف عن اسم فوطيفار رئيس الحرس، أما في السبعينية فيأتي ككلمة واحدة: Πετεφρη وهو مطابق لاسم فوطيفار رئيس الحرس.

[٣٥٩] تأتي في العبري אוֹן (أون) وفي اليونانية Ἡλίου πόλεως (هليو بوليس) أي مدينة الشمس. وتأتي في القبطي البحيري: أون المدينة **ⲱⲛ ϯⲃⲁⲕⲓ**. وموقعها الحالي شمال شرق القاهرة وبها آثار معبد الشمس.

[٣٦٠] يأتي في النص العبري بعد ذلك: «فخرج يوسف على أرض مصر».

[٣٦١] يضيف النص القبطي البحيري في أول هذا العدد: «وأتت سبع سني الرخاء في كل أرض مصر» انظر العدد ٤

سِنِينَ، الَّتِي فِيهَا كَانَ الرَّخَاءُ فِي أَرْضِ مِصْرَ، وَجَعَلَ الطَّعَامَ فِي الْمُدُنِ. طَعَامَ سُهُولِ الْمَدِينَةِ الَّذِي حَوَالَيْهَا جَعَلَهُ فِيهَا.

τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς ἦν ἡ εὐθηνία ἐν γῇ Αἰγύπτου, καὶ ἔθηκεν τὰ βρώματα ἐν ταῖς πόλεσιν, βρώματα τῶν πεδίων τῆς πόλεως τῶν κύκλῳ αὐτῆς ἔθηκεν ἐν αὐτῇ.

٤٩وَجَمَعَ يُوسُفُ قَمْحاً كَرَمْلِ الْبَحْرِ كَثِيراً جِدّاً، حَتَّى لَمْ يَقْدِرُوا أَنْ يَحْسُبُوه لأَنَّه لَمْ يَكُنْ لَهُ عَدَدٌ.

49 καὶ συνήγαγεν Ιωσηφ σῖτον ὡσεὶ τὴν ἄμμον τῆς θαλάσσης πολὺν σφόδρα, ἕως οὐκ ἠδύναντο ἀριθμῆσαι, οὐ γὰρ ἦν ἀριθμός.

٥٠وَوُلِدَ لِيُوسُفَ ابْنَان قَبْلَ أَنْ تَأْتِيَ سَبْعُ سِنِّي الْجُوعِ، اللَّذان وَلَدَتْهُمَا لَهُ أَسْنَاتُ بِنْتُ فُوطِيفَارَ كَاهِنِ مَدِينَةِ الشَّمْسِ.

50 Τῷ δὲ Ιωσηφ ἐγένοντο υἱοὶ δύο πρὸ τοῦ ἐλθεῖν τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ, οὓς ἔτεκεν αὐτῷ Ασεννεθ θυγάτηρ Πετεφρη ἱερέως Ἡλίου πόλεως.

٥١وَدَعَا يُوسُفُ اسْمَ الْبِكْرِ مَنَسَّى[٣٦٢]، (قَائلاً): «لأَنَّ اللهَ جَعَلَنِي أَنْسَى كُلَّ تَعَبِي وَكُلَّ مَا لأَبِي[٣٦٣]».

51 ἐκάλεσεν δὲ Ιωσηφ τὸ ὄνομα τοῦ πρωτοτόκου Μανασση, ὅτι Ἐπιλαθέσθαι με ἐποίησεν ὁ θεὸς πάντων τῶν πόνων μου καὶ πάντων τῶν τοῦ πατρός μου.

---

[٣٦٢] تأتي في العبري מְנַשֶּׁה (منشى) ومعناه: يسبب النسيان.

[٣٦٣] تأتي في العبري: وكل بيت أبي، أما في اليوناني والقبطي فهي غير محددة، ويمكن أن تعني: وكل أتعاب (أو آلام) أبي.

٥٢وَدَعَا اسْمَ الثَّانِي أَفْرَايِمَ[٣٦٤] (قَائِلاً): «لأَنَّ اللهَ أَنْمَانِي فِي أَرْضِ مَذَلَّتِي».

52 τὸ δὲ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Εφραιμ, ὅτι Ηὔξησέν με ὁ θεὸς ἐν γῇ ταπεινώσεώς μου.

٥٣ثُمَّ عَبَرَتْ سَبْعُ سِنِي الرَّخَاءِ الَّتِي كَانَتْ فِي أَرْضِ مِصْرَ.

53 Παρῆλθον δὲ τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας, ἃ ἐγένοντο ἐν γῇ Αἰγύπτῳ,

٥٤وَابْتَدَأَتْ سَبْعُ سِنِي الْجُوعِ تَأْتِي كَمَا قَالَ يُوسُفُ. فَكَانَ جُوعٌ فِي كُلِّ الأَرْضِ. وَأَمَّا جَمِيعُ أَرْضِ مِصْرَ فَكَانَ فِيهَا خُبْزٌ[٣٦٥].

54 καὶ ἤρξαντο τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ ἔρχεσθαι, καθὰ εἶπεν Ιωσηφ. καὶ ἐγένετο λιμὸς ἐν πάσῃ τῇ γῇ, ἐν δὲ πάσῃ γῇ Αἰγύπτου ἦσαν ἄρτοι.

٥٥ثُمَّ جَاعَتْ جَمِيعُ أَرْضِ مِصْرَ وَصَرَخَ الشَّعْبُ إِلَى فِرْعَوْنَ لأَجْلِ الْخُبْزِ. فَقَالَ فِرْعَوْنُ لِكُلِّ الْمِصْرِيِّينَ: «اذْهَبُوا إِلَى يُوسُفَ، وَمَهْمَا قَالَ لَكُمُ افْعَلُوا».

55 καὶ ἐπείνασεν πᾶσα ἡ γῆ Αἰγύπτου, ἐκέκραξεν δὲ ὁ λαὸς πρὸς Φαραω περὶ ἄρτων· εἶπεν δὲ Φαραω πᾶσι τοῖς Αἰγυπτίοις Πορεύεσθε πρὸς Ιωσηφ, καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιήσατε.

٥٦وَكَانَ الْجُوعُ عَلَى وَجْهِ

56 καὶ ὁ λιμὸς ἦν ἐπὶ προσώπου πάσης

---

[٣٦٤] يأتي الاسم في العبري אֶפְרָיִם (إفرايم) ومعناه: مثمر مضاعفاً.

[٣٦٥] يأتي في النسخة الإسكندرية حرف النفي οὐκ ومنه أخذت الترجمة القبطية البحيرية: فلم يكن خبزٌ.

كُلِّ الأَرْضِ. فَفَتَحَ يُوسُفُ جَمِيعَ أَهْرَاءِ القَّمْحِ وَكَانَ يَبِيعُ لِجَمِيعِ الْمِصْرِيِّينَ[٣٦٦].

τῆς γῆς· ἀνέῳξεν δὲ Ιωσηφ πάντας τοὺς σιτοβολῶνας καὶ ἐπώλει πᾶσι τοῖς Αἰγυπτίοις.

٥٧وَجَاءَتْ كُلُّ الْبُلْدَانِ إِلَى مِصْرَ إِلَى يُوسُفَ لِتَبْتَاعَ (قَمْحاً)، لأَنَّ الْجُوعَ اشْتَدَّ فِي كُلِّ الأَرْضِ.

57 καὶ πᾶσαι αἱ χῶραι ἦλθον εἰς Αἴγυπτον ἀγοράζειν πρὸς Ιωσηφ· ἐπεκράτησεν γὰρ ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ.

اَلأَصْحَاحُ الثَّانِي وَالأَرْبَعُونَ

١فَلَمَّا رَأَى يَعْقُوبُ أَنَّهُ يُوجَدُ بَيْعُ (قَمْحٍ) فِي مِصْرَ، قَالَ لِبَنِيهِ: «لِمَاذَا تَتَرَاخُونَ[٣٦٧]؟

1 Ἰδὼν δὲ Ιακωβ ὅτι ἔστιν πρᾶσις ἐν Αἰγύπτῳ, εἶπεν τοῖς υἱοῖς αὐτοῦ Ἵνα τί ῥᾳθυμεῖτε;

٢هُوَذَا قَدْ سَمِعْتُ أَنَّهُ يُوجَدُ قَمْحٌ فِي مِصْرَ. انْزِلُوا إِلَى هُنَاكَ وَابْتَاعُوا لَنَا قَلِيلَ طَعَامٍ لِنَحْيَا وَلاَ نَمُوتَ».

2 ἰδοὺ ἀκήκοα ὅτι ἔστιν σῖτος ἐν Αἰγύπτῳ· κατάβητε ἐκεῖ καὶ πρίασθε ἡμῖν μικρὰ βρώματα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν.

---

[٣٦٦] يأتي في النص العبري: واشتد الجوع في أرض مصر (انظر العدد ٥٧).

[٣٦٧] تأتي في العبري: תִּתְרָאוּ (تتراأو) أي تنظرون بعضكم لبعض، وفي القبطي البحيري ⲧⲉⲧⲉⲛϣⲟⲗϩ ⲛ̀ϩⲏⲧ أي ترتعبون أو تجبنون.

[٣]فَنَزَلَ إِخْوَةُ يُوسُفَ الْعَشَرَةُ لِيَبْتَاعُوا قَمْحاً مِنْ مِصْرَ.

3 κατέβησαν δὲ οἱ ἀδελφοὶ Ιωσηφ οἱ δέκα πρίασθαι σῖτον ἐξ Αἰγύπτου·

[٤]وَأَمَّا بِنْيَامِينُ أَخُو يُوسُفَ فَلَمْ يُرْسِلْهُ (يَعْقُوبُ) مَعَ إِخْوَتِه، لأَنَّهُ قَالَ: «لِئَلاَّ تُصِيبَهُ أَذِيَّةٌ[٣٦٨]».

4 τὸν δὲ Βενιαμιν τὸν ἀδελφὸν Ιωσηφ οὐκ ἀπέστειλεν μετὰ τῶν ἀδελφῶν αὐτοῦ· εἶπεν γάρ Μήποτε συμβῇ αὐτῷ μαλακία.

[٥]فَأَتَى بَنُو إِسْرَائِيلَ لِيَشْتَرُوا مَعَ الآتِينَ، لأَنَّ الْجُوعَ كَانَ فِي أَرْضِ كَنْعَانَ.

5 Ἦλθον δὲ οἱ υἱοὶ Ισραηλ ἀγοράζειν μετὰ τῶν ἐρχομένων· ἦν γὰρ ὁ λιμὸς ἐν γῇ Χανααν.

[٦]وَكَانَ يُوسُفُ رَئِيساً عَلَى الأَرْضِ، وَهُوَ الَّذِي كَانَ يَبِيعُ لِكُلِّ شَعْبِ الأَرْضِ. فَأَتَى إِخْوَةُ يُوسُفَ وَسَجَدُوا لَهُ بِوُجُوهِهِمْ عَلَى الأَرْضِ.

6 Ιωσηφ δὲ ἦν ἄρχων τῆς γῆς, οὗτος ἐπώλει παντὶ τῷ λαῷ τῆς γῆς· ἐλθόντες δὲ οἱ ἀδελφοὶ Ιωσηφ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

[٧]وَلَمَّا رَأي يُوسُفُ إِخْوَتَهُ عَرَفَهُمْ، فَجَعَلَ نَفْسَهُ غَرِيباً عَنْهُمْ وَتَكَلَّمَ مَعَهُمْ بِجَفَاء

7 ἰδὼν δὲ Ιωσηφ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπέγνω καὶ ἠλλοτριοῦτο ἀπ᾽ αὐτῶν καὶ ἐλάλησεν αὐτοῖς σκληρὰ καὶ εἶπεν αὐτοῖς

---

[٣٦٨] يأتي في القبطي البحيري: «لئلا يدركه مرضٌ». ويأتي في النص القبطي طبعة ١٩٣٣: « لئلا يدركه مرضٌ في الطريق ϩⲓ ⲡⲓⲙⲱⲓⲧ» (انظر تك ٤٤: ٢٩).

وَقَالَ لَهُمْ: «مِنْ أَيْنَ جِئْتُمْ؟» أَمَّا هُمْ فَقَالُوا: «مِنْ أَرْضِ كَنْعَانَ لِنَشْتَرِيَ طَعَاماً».

Πόθεν ἥκατε; οἱ δὲ εἶπαν Ἐκ γῆς Χαναανἀγοράσαι βρώματα.

٨وَعَرَفَ يُوسُفُ إِخْوَتَهُ وَأَمَّا هُمْ فَلَمْ يَعْرِفُوهُ.

8 ἐπέγνω δὲ Ιωσηφ τοὺς ἀδελφοὺς αὐτοῦ, αὐτοὶ δὲ οὐκ ἐπέγνωσαν αὐτόν.

٩فَتَذَكَّرَ يُوسُفُ الأَحْلاَمَ الَّتِي رَآهَا هُوَ، وَقَالَ لَهُمْ: «جَوَاسِيسُ أَنْتُمْ! لِتَتَأَمَّلُوا مَعَالِمَ[٣٦٩] الْبَلَدِ جِئْتُمْ!»

9 καὶ ἐμνήσθη Ιωσηφ τῶν ἐνυπνίων, ὧν εἶδεν αὐτός, καὶ εἶπεν αὐτοῖς Κατάσκοποί ἐστε· κατανοῆσαι τὰ ἴχνη τῆς χώρας ἥκατε.

١٠أَمَّا هُمْ فَقَالُوا: «لاَ، أَيُّهَا السَّيِّدُ. عَبِيدُكَ نَحْنُ أَتَيْنَا لِنَشْتَرِيَ طَعَاماً.

10 οἱ δὲ εἶπαν Οὐχί, κύριε· οἱ παῖδές σου ἤλθομεν πρίασθαι βρώματα·

١١نَحْنُ جَمِيعُنَا بَنُو رَجُلٍ وَاحِدٍ. نَحْنُ مُسَالِمُونَ. لَيْسَ عَبِيدُكَ جَوَاسِيسَ».

11 πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου· εἰρηνικοί ἐσμεν, οὐκ εἰσὶν οἱ παῖδές σου κατάσκοποι.

١٢فَقَالَ لَهُمْ: «كَلاَّ! بَلْ جِئْتُمْ لِتَرُوا مَعَالِمَ الأَرْضِ».

12 εἶπεν δὲ αὐτοῖς Οὐχί, ἀλλὰ τὰ ἴχνη τῆς γῆς ἤλθατε ἰδεῖν.

١٣أَمَّا هُمْ فَقَالُوا: «عَبِيدُكَ

13 οἱ δὲ εἶπαν Δώδεκά ἐσμεν οἱ παῖδές

---

[٣٦٩] تأتي في النص العبري עֶרְוַת بمعنى عُري أو عورة، أي مواطن الضعف في البلاد، وفي اليوناني تأتي ἴχνη بمعنى أثار القدم، أي التجسس باقتفاء الأثر.

اثْنَا عَشَرَ أَخاً فِي أَرْضِ كَنْعَانَ[٢٧٠]. وَهُوَذَا الصَّغِيرُ مَعَ أَبِينَا الْيَوْمَ، وَالآخَرُ لَيْسَ مَوْجُوداً».

σου ἀδελφοὶ ἐν γῇ Χανααν, καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν σήμερον, ὁ δὲ ἕτερος οὐχ ὑπάρχει.

١٤فَقَالَ لَهُمْ يُوسُفُ: «هَذَا مَا كَلَّمْتُكُمْ بِهِ قَائِلاً: جَوَاسِيسُ أَنْتُمْ.

14 εἶπεν δὲ αὐτοῖς Ιωσηφ Τοῦτό ἐστιν, ὃ εἴρηκα ὑμῖν λέγων ὅτι Κατάσκοποί ἐστε·

١٥بِهَذَا تُظْهَرُونَ. وَسَلاَمَةَ فِرْعَوْنَ لاَ تَخْرُجُونَ مِنْ هُنَا إِنْ لَمْ يَأْتِ أَخُوكُمُ الصَّغِيرُ إِلَى هُنَا.

15 ἐν τούτῳ φανεῖσθε· νὴ τὴν ὑγίειαν Φαραω, οὐ μὴ ἐξέλθητε ἐντεῦθεν, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ἔλθῃ ὧδε.

١٦أَرْسِلُوا مِنْكُمْ وَاحِداً وَأَحْضِرُوا أَخَاكُمْ، وَأَنْتُمْ تُحْجَزُونَ حَتَّى يَتَّضِحَ كَلاَمُكُمْ، هَلْ تَقُولُونَ الصِّدْقَ أَمْ لاَ. وَإِلاَّ فَوَسَلاَمَةِ فِرْعَوْنَ إِنَّكُمْ لَجَوَاسِيسُ!»

16 ἀποστείλατε ἐξ ὑμῶν ἕνα καὶ λάβετε τὸν ἀδελφὸν ὑμῶν, ὑμεῖς δὲ ἀπάχθητε ἕως τοῦ φανερὰ γενέσθαι τὰ ῥήματα ὑμῶν, εἰ ἀληθεύετε ἢ οὔ· εἰ δὲ μή, νὴ τὴν ὑγίειαν Φαραω, ἦ μὴν κατάσκοποί ἐστε.

١٧فَوَضَعَهُمْ فِي حَبْسٍ ثَلاَثَةَ أَيَّامٍ.

17 καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ ἡμέρας τρεῖς.

[٢٧٠] يأتي في النص العبري بعد ذلك: «نحن أبناء رجل واحد» (انظر العدد ١١).

١٨ثُمَّ قَالَ لَهُمْ فِي الْيَوْمِ الثَّالِث: «افْعَلُوا هَذَا وَاحْيُوا. لأَنِّي أَخَافُ اللهَ،

18 Εἶπεν δὲ αὐτοῖς τῇ ἡμέρᾳ τῇ τρίτῃ Τοῦτο ποιήσατε καὶ ζήσεσθε—τὸν θεὸν γὰρ ἐγὼ φοβοῦμαι—·

١٩إِنْ كُنْتُمْ مُسَالِمِينَ فَلْيُحْجَزْ أَخٌ وَاحِدٌ مِنْكُمْ فِي الْحَبْسِ، أَمَّا أَنْتُمْ فَامْضُوا وَخُذُوا مَعَكُمْ مَا ابْتَعْتُمُوهُ مِنَ الْغَلَّةِ[٣٧١]،

19 εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν εἷς κατασχεθήτω ἐν τῇ φυλακῇ, αὐτοὶ δὲ βαδίσατε καὶ ἀπαγάγετε τὸν ἀγορασμὸν τῆς σιτοδοσίας ὑμῶν

٢٠وَأَحْضِرُوا أَخَاكُمُ الأَصْغَرَ إِلَيَّ فَيَصْدُقَ كَلاَمُكُمْ وَإِلاَّ تَمُوتُونَ». فَفَعَلُوا هَكَذَا.

20 καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρός με, καὶ πιστευθήσονται τὰ ῥήματα ὑμῶν· εἰ δὲ μή, ἀποθανεῖσθε. ἐποίησαν δὲ οὕτως.

٢١وَقَالَ كُلُّ وَاحِدٍ لأَخِيهِ: «حَقّاً إِنَّنَا مُذْنِبُونَ لأَجْلِ أَخِينَا، لأَنَّنَا ازْدَرَيْنَا بِضِيقَةِ نَفْسِهِ لَمَّا اسْتَعْطَفَنَا فَلَمْ نَسْمَعْ لَهُ. لأَجْلِ هَذَا جَاءَتْ عَلَيْنَا هَذِهِ الضِّيقَةُ».

21 καὶ εἶπεν ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ναί· ἐν ἁμαρτίᾳ γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ· ἕνεκεν τούτου ἐπῆλθεν ἐφ᾽ ἡμᾶς ἡ θλῖψις αὕτη.

٢٢فَأَجَابَ رَأُوبَيْنُ وَقَالَ

22 ἀποκριθεὶς δὲ Ρουβην εἶπεν αὐτοῖς

---

[٣٧١] تأتي في العبري: «وخذوا قمحاً لمجاعة بيوتكم».

لَهُمْ: «أَلَم أُكَلِّمْكُمْ قَائلاً: لاَ تَظْلِمُوا الْغُلاَمَ وَلَمْ تَسْمَعُوا لِي؟ فَهُوَذَا دَمُهُ يُطْلَبُ».

Οὐκ ἐλάλησα ὑμῖν λέγων Μὴ ἀδικήσητε τὸ παιδάριον; καὶ οὐκ εἰσηκούσατέ μου· καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται.

٢٣أَمَّا هُمْ فَلَمْ يَعْلَمُوا أَنَّ يُوسُفَ يَسْمَعُ[٣٧٢]؛ لأَنَّ الْمُتَرْجِمَ كَانَ فِي وَسَطِهِمْ.

23 αὐτοὶ δὲ οὐκ ᾔδεισαν ὅτι ἀκούει Ιωσηφ· ὁ γὰρ ἑρμηνευτὴς ἀνὰ μέσον αὐτῶν ἦν.

٢٤فَتَحَوَّلَ يُوسُفُ عَنْهُمْ وَبَكَى. ثُمَّ رَجَعَ إِلَيْهِمْ وَكَلَّمَهُمْ[٣٧٣] وَأَخَذَ مِنْهُمْ شَمْعُونَ وَقَيَّدَهُ أَمَامَهُم.

24 ἀποστραφεὶς δὲ ἀπ᾽ αὐτῶν ἔκλαυσεν Ιωσηφ. καὶ πάλιν προσῆλθεν πρὸς αὐτοὺς καὶ εἶπεν αὐτοῖς καὶ ἔλαβεν τὸν Συμεων ἀπ᾽ αὐτῶν καὶ ἔδησεν αὐτὸν ἐναντίον αὐτῶν.

٢٥ثُمَّ أَمَرَ يُوسُفُ أَنْ تُمْلأَ أَوْعِيَتُهُمْ قَمْحاً وَتُرَدَّ فِضَّةُ كُلِّ وَاحِدٍ إِلَى كِيسِهِ وَأَنْ يُعْطَوْا زَاداً لِلطَّرِيقِ. فَصَارَ لَهُمْ هَكَذَا.

25 ἐνετείλατο δὲ Ιωσηφ ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου καὶ ἀποδοῦναι τὸ ἀργύριον ἑκάστου εἰς τὸν σάκκον αὐτοῦ καὶ δοῦναι αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν. καὶ ἐγενήθη αὐτοῖς οὕτως.

٢٦فَحَمَلُوا القَمْحَ عَلَى حَمِيرِهِمْ وَمَضُوا مِنْ هُنَاكَ.

26 καὶ ἐπιθέντες τὸν σῖτον ἐπὶ τοὺς ὄνους αὐτῶν ἀπῆλθον ἐκεῖθεν.

[٣٧٢] تأتي في العبري שֹׁמֵעַ (شمع) بمعنى: سامع، كما تأتي بنفس المعنى في اليوناني ἀκούει يسمع.

[٣٧٣] تضيف الترجمة القبطية البحيرية هنا هذه الجملة: «وقال لهم: إن واحداً يبقى هنا كما قلت لكم، وأحضروا أخاكم الأصغر معكم لأنه بهذا تظهرون أنكم مسالمون ولستم جواسيس».

٢٧فَلَمَّا فَتَحَ أَحَدُهُمْ عِدْلَهُ لِيُعْطِيَ عَلِيقاً لِحَمِيرِهِ، فِي الْمَوْضِعِ الَّذِي ارْتَاحُوا فِيهِ، رَأَى صُرَّةَ فِضَّتِهِ وَكَانَتْ عَلَى فَمِ عِدْلِهِ.

27 λύσας δὲ εἷς τὸν μάρσιππον αὐτοῦ δοῦναι χορτάσματα τοῖς ὄνοις αὐτοῦ, οὗ κατέλυσαν, εἶδεν τὸν δεσμὸν τοῦ ἀργυρίου αὐτοῦ, καὶ ἦν ἐπάνω τοῦ στόματος τοῦ μαρσίππου·

٢٨فَقَالَ لِإِخْوَتِهِ: «رُدَّتْ لِي الْفِضَّةُ، وَهَا هِيَ فِي عِدْلِي». فَتَحَيَّرَتْ قُلُوبُهُمْ وَاضْطَرَبُوا فِيمَا بَيْنَهُمْ قَائِلِينَ: «مَا هَذَا الَّذِي صَنَعَهُ اللهُ بِنَا؟».

28 καὶ εἶπεν τοῖς ἀδελφοῖς αὐτοῦ Ἀπεδόθη μοι τὸ ἀργύριον, καὶ ἰδοὺ τοῦτο ἐν τῷ μαρσίππῳ μου. καὶ ἐξέστη ἡ καρδία αὐτῶν, καὶ ἐταράχθησαν πρὸς ἀλλήλους λέγοντες Τί τοῦτο ἐποίησεν ὁ θεὸς ἡμῖν;

٢٩فَجَاءُوا إِلَى يَعْقُوبَ أَبِيهِمْ إِلَى أَرْضِ كَنْعَانَ وَأَخْبَرُوهُ بِكُلِّ مَا حَدَثَ لَهُمْ قَائِلِينَ:

29 Ἦλθον δὲ πρὸς Ιακωβ τὸν πατέρα αὐτῶν εἰς γῆν Χανααν καὶ ἀπήγγειλαν αὐτῷ πάντα τὰ συμβάντα αὐτοῖς λέγοντες

٣٠«تَكَلَّمَ مَعَنَا الرَّجُلُ سَيِّدُ الأَرْضِ بِجَفَاءٍ وَوَضَعَنَا فِي حَبْسٍ كَأَنَّنَا نَتَجَسَّسُ الأَرْضَ.

30 Λελάληκεν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς πρὸς ἡμᾶς σκληρὰ καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ὡς κατασκοπεύοντας τὴν γῆν.

٣١فَقُلْنَا لَهُ: نَحْنُ مُسَالِمُونَ. نَحْنُ لَسْنَا جَوَاسِيسَ.

31 εἴπαμεν δὲ αὐτῷ Εἰρηνικοί ἐσμεν, οὔκ ἐσμεν κατάσκοποι·

٣٢نَحْنُ اثْنَا عَشَرَ أَخاً بَنُو أَبِينَا. الْوَاحِدُ لَيْسَ مَوْجُوداً، أَمَّا الأَصْغَرُ فَهُوَ الْيَوْمَ مَعَ أَبِينَا فِي أَرْضِ كَنْعَانَ.

٣٣فَقَالَ لَنَا الرَّجُلُ سَيِّدُ الأَرْضِ: بِهذَا أَعْرِفُ أَنَّكُمْ مُسَالِمُونَ. اتْرُكُوا أَخاً وَاحِداً هَهُنَا مَعِي، وَمَا ابْتَعْتُمُوهُ مِنَ الْغَلَّةِ لِبَيْتِكُمْ خُذُوهُ وَامْضُوا.

٣٤وَأَحْضِرُوا إِلَيَّ أَخَاكُمُ الأَصْغَرَ فَأَعْرِفَ أَنَّكُمْ لَسْتُمْ جَوَاسِيسَ، بَلْ أَنَّكُمْ مُسَالِمُونَ، فَأَرُدَّ لَكُمْ أَخَاكُمْ وَتَتَّجِرُونَ فِي الأَرْضِ».

٣٥وَحَدَثَ بَيْنَمَا كَانُوا يُفَرِّغُونَ عِدَالَهُمْ إِذَا كِيسُ فِضَّةِ كُلِّ وَاحِدٍ فِي عِدْلِهِ. وَرَأَوْا صُرَرَ فِضَّتِهِمْ، هُمْ وَأَبُوهُمْ، فَخَافُوا.

32 δώδεκα ἀδελφοί ἐσμεν, υἱοὶ τοῦ πατρὸς ἡμῶν· ὁ εἷς οὐχ ὑπάρχει, ὁ δὲ μικρότερος μετὰ τοῦ πατρὸς ἡμῶν σήμερον ἐν γῇ Χανααν.

33 εἶπεν δὲ ἡμῖν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς Ἐν τούτῳ γνώσομαι ὅτι εἰρηνικοί ἐστε· ἀδελφὸν ἕνα ἄφετε ὧδε μετ᾽ ἐμοῦ, τὸν δὲ ἀγορασμὸν τῆς σιτοδοσίας τοῦ οἴκου ὑμῶν λαβόντες ἀπέλθατε

34 καὶ ἀγάγετε πρός με τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον, καὶ γνώσομαι ὅτι οὐ κατάσκοποί ἐστε, ἀλλ᾽ ὅτι εἰρηνικοί ἐστε, καὶ τὸν ἀδελφὸν ὑμῶν ἀποδώσω ὑμῖν, καὶ τῇ γῇ ἐμπορεύεσθε.

35 ἐγένετο δὲ ἐν τῷ κατακενοῦν αὐτοὺς τοὺς σάκκους αὐτῶν καὶ ἦν ἑκάστου ὁ δεσμὸς τοῦ ἀργυρίου ἐν τῷ σάκκῳ αὐτῶν· καὶ εἶδον τοὺς δεσμοὺς τοῦ ἀργυρίου αὐτῶν, αὐτοὶ καὶ ὁ πατὴρ αὐτῶν, καὶ ἐφοβήθησαν.

36 εἶπεν δὲ αὐτοῖς Ιακωβ ὁ πατὴρ αὐτῶν Ἐμὲ ἠτεκνώσατε· Ιωσηφ οὐκ ἔστιν, Συμεων οὐκ ἔστιν, καὶ τὸν Βενιαμιν λήμψεσθε· ἐπ᾽ ἐμὲ ἐγένετο πάντα ταῦτα.

[٣٦]فَقَالَ لَهُمْ يَعْقُوبُ أَبُوهُمْ: «أَعْدَمْتُمُونِي الأَوْلاَدَ! يُوسُفُ غَيْرُ مَوْجُود، وَشَمْعُونُ غَيْرُ مَوْجُود، وَبِنْيَامِينُ تَأْخُذُونَهُ! صَارَ كُلُّ هذَا عَلَيَّ!»

37 εἶπεν δὲ Ρουβην τῷ πατρὶ αὐτοῦ λέγων Τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ· δὸς αὐτὸν εἰς τὴν χεῖρά μου, κἀγὼ ἀνάξω αὐτὸν πρὸς σέ.

[٣٧]وَكَلَّمَ رَأُوبَيْنُ أَبَاهُ قَائِلاً: «اقْتُلِ ابْنَيَّ الاثْنَيْنِ إِنْ لَمْ أَجِئْ بِهِ إِلَيْكَ. سَلِّمْهُ لِيَدِي وَأَنَا أَرُدُّهُ إِلَيْكَ».

38 ὁ δὲ εἶπεν Οὐ καταβήσεται ὁ υἱός μου μεθ᾽ ὑμῶν, ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν καὶ αὐτὸς μόνος καταλέλειπται· καὶ συμβήσεται αὐτὸν μαλακισθῆναι ἐν τῇ ὁδῷ, ᾗ ἂν πορεύησθε, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου.

[٣٨]أَمَّا هُوَ فَقَالَ: «لاَ يَنْزِلُ ابْنِي مَعَكُمْ، لأَنَّ أَخَاهُ قَدْ مَاتَ وَهُوَ وَحْدَهُ الَّذِي بَقِيَ[٣٧٤]. فَإِنْ حَدَثَ أَنْ أَصَابَتْهُ أَذِيَّةٌ فِي الطَّرِيقِ الَّتِي تَذْهَبُونَ فِيهَا تُنْزِلُونَ شَيْبَتِي بِحُزْنٍ إِلَى الْهَاوِيَةِ».

---

[٣٧٤] تأتي في الترجمة القبطية البحيرية: «وهو وحده الذي بقي لي من هذه الزوجة ⲧⲁⲓⲥϩⲓⲙⲓ»، وفي طبعة ١٩٣٣: «من زوجتي ⲧⲁⲥ̀ϩⲓⲙⲓ».

اَلأَصْحَاحُ الثَّالِثُ وَالأَرْبَعُونَ

١وَاشْتَدَّ الْجُوعُ عَلَى الأَرْضِ.

1 Ὁ δὲ λιμὸς ἐνίσχυσεν ἐπὶ τῆς γῆς.

٢وَحَدَثَ لَمَّا انْتَهَوْا مِنْ أَكْلِ الْقَمْحِ، الَّذِي حَمَلُوهُ مِنْ مِصْرَ، أَنَّ أَبَاهُمْ قَالَ لَهُمْ: «اذْهَبُوا ثَانِيَةً اشْتَرُوا لَنَا قَلِيلاً مِنَ الطَّعَامِ[٣٧٥]».

2 ἐγένετο δὲ ἡνίκα συνετέλεσαν καταφαγεῖν τὸν σῖτον, ὃν ἤνεγκαν ἐξ Αἰγύπτου, καὶ εἶπεν αὐτοῖς ὁ πατὴρ αὐτῶν Πάλιν πορευθέντες πρίασθε ἡμῖν μικρὰ βρώματα.

٣فَكَلَّمَهُ يَهُوذَا قَائِلاً: «إِنَّ الرَّجُلَ قَدْ أَشْهَدَ عَلَيْنَا بِشَهَادَةٍ قَائِلاً: لَنْ تَرَوْا وَجْهِي إِنْ لَمْ يَكُنْ أَخُوكُمْ الأَصْغَرُ مَعَكُمْ.

3 εἶπεν δὲ αὐτῷ Ιουδας λέγων Διαμαρτυρίᾳ διαμεμαρτύρηται ἡμῖν ὁ ἄνθρωπος λέγων Οὐκ ὄψεσθε τὸ πρόσωπόν μου, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾽ ὑμῶν ᾖ.

٤فَإِنْ كُنْتَ تُرْسِلُ أَخَانَا مَعَنَا نَنْزِلُ وَنَشْتَرِي لَكَ طَعَاماً.

4 εἰ μὲν οὖν ἀποστέλλεις τὸν ἀδελφὸν ἡμῶν μεθ᾽ ἡμῶν, καταβησόμεθα καὶ ἀγοράσωμέν σοι βρώματα·

٥أَمَّا إِنْ كُنْتَ لاَ تُرْسِلُ

5 εἰ δὲ μὴ ἀποστέλλεις τὸν ἀδελφὸν

---

[٣٧٥] تضيف الترجمة القبطية البحيرية طبعة ١٩٢٣ عبارة: «لكي لا نموت».

أَخَانَا مَعَنَا فَلَنْ نَذْهَبَ. لأَنَّ الرَّجُلَ كَلَّمَنَا قَائِلاً: لَنْ تَرَوْا وَجْهِي إِنْ لَمْ يَكُنْ أَخُوكُمْ الأَصْغَرُ مَعَكُمْ».

ἡμῶν μεθ᾽ ἡμῶν, οὐ πορευσόμεθα· ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν λέγων Οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾽ ὑμῶν ᾖ.

٦فَقَالَ إِسْرَائِيلُ: «لِمَاذَا فَعَلْتُمْ بِي شَرًّا إِذْ أَخْبَرْتُمُ الرَّجُلَ أَنَّ لَكُمْ أَخًا؟»

6 εἶπεν δὲ Ισραηλ Τί ἐκακοποιήσατέ με ἀναγγείλαντες τῷ ἀνθρώπῳ εἰ ἔστιν ὑμῖν ἀδελφός;

٧فَقَالُوا: «إِنَّ الرَّجُلَ قَدْ اسْتَفْسَرَ سَائِلاً عَنَّا وَعَنْ عَشِيرَتِنَا قَائِلاً: هَلْ أَبُوكُمْ حَيٌّ بَعْدُ؟ هَلْ لَكُمْ أَخٌ؟ فَأَخْبَرْنَاهُ بِحَسَبِ هَذَا التَّسَاؤُلِ. هَلْ كُنَّا نَعْلَمُ أَنَّهُ يَقُولُ لَنَا أَحْضِرُوا أَخَاكُمْ؟».

7 οἱ δὲ εἶπαν Ἐρωτῶν ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος καὶ τὴν γενεὰν ἡμῶν λέγων Εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ; εἰ ἔστιν ὑμῖν ἀδελφός; καὶ ἀπηγγείλαμεν αὐτῷ κατὰ τὴν ἐπερώτησιν ταύτην. μὴ ᾔδειμεν εἰ ἐρεῖ ἡμῖν Ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν;

٨وَقَالَ يَهُوذَا لإِسْرَائِيلَ أَبِيهِ: «أَرْسِلِ الْغُلاَمَ مَعِي وَسَوْفَ نَقُومُ وَنَذْهَبُ كَيْ نَحْيَا وَلاَ نَمُوتَ نَحْنُ وَأَنْتَ

8 εἶπεν δὲ Ιουδας πρὸς Ισραηλ τὸν πατέρα αὐτοῦ Ἀπόστειλον τὸ παιδάριον μετ᾽ ἐμοῦ, καὶ ἀναστάντες πορευσόμεθα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν καὶ ἡμεῖς

وَكُلُّ بَيْتِنَا[٣٧٦].

καὶ σὺ καὶ ἡ ἀποσκευὴ ἡμῶν.

٩أَنَا أَضْمَنُهُ. مِنْ يَدِي تَطْلُبُهُ. إِنْ لَمْ أَجِئْ بِهِ إِلَيْكَ وَأُوقِفْهُ قُدَّامَكَ أَصِرْ مُذْنِباً إِلَيْكَ كُلَّ الأَيَّامِ.

9 ἐγὼ δὲ ἐκδέχομαι αὐτόν, ἐκ χειρός μου ζήτησον αὐτόν· ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι πρὸς σὲ πάσας τὰς ἡμέρας.

١٠لأَنَّنَا لَوْ لَمْ نَتَوَانَ لَكُنَّا قَدْ رَجَعْنَا الآنَ مَرَّتَيْنِ».

10 εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπεστρέψαμεν δίς.

١١فَقَالَ لَهُمْ إِسْرَائِيلُ أَبُوهُمْ: «إِنْ كَانَ هَكَذَا فَافْعَلُوا هَذَا: خُذُوا مِنْ ثِمَارِ الأَرْضِ فِي أَوْعِيَتِكُمْ وَأَنْزِلُوا لِلرَّجُلِ هَدَايَا، مِنَ الْبَلَسَانِ وَالْعَسَلِ، وَطِيباً وَمُرًّا وَفُسْتُقاً وَلَوْزاً.

11 εἶπεν δὲ αὐτοῖς Ισραηλ ὁ πατὴρ αὐτῶν Εἰ οὕτως ἐστίν, τοῦτο ποιήσατε· λάβετε ἀπὸ τῶν καρπῶν τῆς γῆς ἐν τοῖς ἀγγείοις ὑμῶν καὶ καταγάγετε τῷ ἀνθρώπῳ δῶρα, τῆς ῥητίνης καὶ τοῦ μέλιτος, θυμίαμα καὶ στακτὴν καὶ τερέμινθον καὶ κάρυα.

١٢وَخُذُوا فِضَّةً مُضَاعَفَةً فِي أَيَادِيكُمْ. وَالْفِضَّةَ الْمَرْدُودَةَ فِي عِدَالِكُمْ رُدُّوهَا

12 καὶ τὸ ἀργύριον δισσὸν λάβετε ἐν ταῖς χερσὶν ὑμῶν· τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ὑμῶν ἀποστρέψατε

[٣٧٦] الكلمة العبرية טַפֵּנוּ (طبنو) تعني: أولادنا الصغار، والكلمة اليونانية ἀποσκευή كلمة عامة تشمل كل أهل البيت، وقد تشمل أيضاً متاع البيت مع باقي الكائنات الحية (انظر تك ٤٦: ٥).

مَعَكُمْ. لَعَلَّهُ كَانَ سَهْواً.

μεθ᾽ ὑμῶν· μήποτε ἀγνόημά ἐστιν.

١٣وَخُذُوا أَخَاكُمْ وَقُومُوا انْزِلُوا إِلَى الرَّجُلِ.

13 καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε καὶ ἀναστάντες κατάβητε πρὸς τὸν ἄνθρωπον.

١٤وَإِلَهِي[٣٧٧] يُعْطِيكُمْ نِعْمَةً أَمَامَ الرَّجُلِ، فَيُرْسِلَ أَخَاكُمُ الأَوَّلَ وَبِنْيَامِينَ. وَأَمَّا أَنَا فَكَمَا ثُكِلْتُ، فَقَدْ ثُكِلْتُ[٣٧٨]».

14 ὁ δὲ θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμιν· ἐγὼ μὲν γάρ, καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι.

١٥فَأَخَذَ الرِّجَالُ هَذِهِ الْهَدَايَا وَأَخَذُوا الْفِضَّةَ مُضَاعَفَةً فِي أَيَادِيهِمْ وَبِنْيَامِينَ وَقَامُوا وَنَزَلُوا إِلَى مِصْرَ وَوَقَفُوا أَمَامَ يُوسُفَ.

15 Λαβόντες δὲ οἱ ἄνδρες τὰ δῶρα ταῦτα καὶ τὸ ἀργύριον διπλοῦν ἔλαβον ἐν ταῖς χερσὶν αὐτῶν καὶ τὸν Βενιαμιν καὶ ἀναστάντες κατέβησαν εἰς Αἴγυπτον καὶ ἔστησαν ἐναντίον Ιωσηφ.

١٦فَلَمَّا رَأَهُم يُوسُفُ (وَرَأَى) بِنْيَامِينَ أَخَاهُ الَّذِي مِنْ أُمِّهِ قَالَ لِلَّذِي عَلَى بَيْتِهِ: «أَدْخِلِ الرِّجَالَ إِلَى الْبَيْتِ وَاذْبَحْ ذَبَائِحَ وَهَيِّئْ (طَعَاماً)، لأَنَّ الرِّجَالَ يَأْكُلُونَ مَعِي

16 εἶδεν δὲ Ιωσηφ αὐτοὺς καὶ τὸν Βενιαμιν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον καὶ εἶπεν τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ Εἰσάγαγε τοὺς ἀνθρώπους εἰς τὴν οἰκίαν καὶ σφάξον θύματα καὶ ἑτοίμασον· μετ᾽ ἐμοῦ γὰρ φάγονται οἱ ἄνθρωποι

---

[٣٧٧] تأتي في النص العبري: אֵל שַׁדַּי (إيل شداي) أي الله القدير، ويقابلها في اليوناني والقبطي: إلهي (على فم اسحق أو يعقوب) أو إلهك (على فم الله) انظر (تك ٢٨: ٣؛ ٣٥: ١١، ٤٣: ١٤؛ ٤٩: ٢٥).

[٣٧٨] بمعنى: فكما ثُكلت فيما سبق فقد ثكلت الآن أيضاً.

خُبْزاً عِنْدَ الظُّهْرِ».

ἄρτους τὴν μεσημβρίαν.

١٧فَفَعَلَ الرَّجُلُ كَمَا قَالَ يُوسُفُ، وَأَدْخَلَ الرِّجَالَ إِلَى بَيْتِ يُوسُفَ[٣٧٩].

17 ἐποίησεν δὲ ὁ ἄνθρωπος, καθὰ εἶπεν Ιωσηφ, καὶ εἰσήγαγεν τοὺς ἀνθρώπους εἰς τὸν οἶκον Ιωσηφ.

١٨فَلَمَّا رَأَى الرِّجَالُ أَنَّهُم أُدْخِلُوا إِلَى بَيْتِ يُوسُفَ قَالُوا: «لِسَبَبِ الْفِضَّةِ الَّتِي رُدَّتْ أَوَّلاً فِي عِدَالِنَا نَحْنُ قَدْ أُدْخِلْنَا لِيَتَّهِمَنَا كَذِباً وَيَهْجِمَ عَلَيْنَا وَيَأْخُذَنَا عَبِيداً وَحَمِيرَنَا».

18 ἰδόντες δὲ οἱ ἄνθρωποι ὅτι εἰσήχθησαν εἰς τὸν οἶκον Ιωσηφ, εἶπαν Διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ἡμῶν τὴν ἀρχὴν ἡμεῖς εἰσαγόμεθα τοῦ συκοφαντῆσαι ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας καὶ τοὺς ὄνους ἡμῶν.

١٩فَتَقَدَّمُوا إِلَى الرَّجُلِ الَّذِي عَلَى بَيْتِ يُوسُفَ وَكَلَّمُوهُ فِي بَابِ الْبَيْتِ

19 προσελθόντες δὲ πρὸς τὸν ἄνθρωπον τὸν ἐπὶ τοῦ οἴκου Ιωσηφ ἐλάλησαν αὐτῷ ἐν τῷ πυλῶνι τοῦ οἴκου

٢٠قَائِلِينَ: «نَسْأَلُكَ أَيُّهَا السَّيِّدُ، إِنَّنَا قَدْ نَزَلْنَا أَوَّلاً لِنَشْتَرِيَ طَعَاماً.

20 λέγοντες Δεόμεθα, κύριε· κατέβημεν τὴν ἀρχὴν πρίασθαι βρώματα·

٢١وَكَانَ لَمَّا أَتَيْنَا إِلَى الْمَوْضِعِ الَّذِي ارْتَحْنَا فِيهِ، أَنَّنَا

21 ἐγένετο δὲ ἡνίκα ἤλθομεν εἰς τὸ καταλῦσαι καὶ ἠνοίξαμεν τοὺς μαρσίππους

---

[٣٧٩] لا يأتي النصف الثاني من هذا العدد في الترجمة القبطية البحيرية.

فَتَحْنَا عِدَالَنَا وَإِذَا فِضَّةُ كُلِّ وَاحِدٍ فِي عِدْلِه. فِضَّتُنَا بِالْوَزْنِ قَدْ رَدَدْنَاهَا الآنَ فِي أَيَادِينَا.

ἡμῶν, καὶ τόδε τὸ ἀργύριον ἑκάστου ἐν τῷ μαρσίππῳ αὐτοῦ· τὸ ἀργύριον ἡμῶν ἐν σταθμῷ ἀπεστρέψαμεν νῦν ἐν ταῖς χερσὶν ἡμῶν

٢٢وَأَحْضَرْنَا فِضَّةً أُخْرَى مَعَنَا لِنَشْتَرِيَ طَعَاماً. لاَ نَعْلَمُ مَنْ أَلْقَى الْفِضَّةَ فِي عِدَالِنَا».

22 καὶ ἀργύριον ἕτερον ἠνέγκαμεν μεθ᾽ ἑαυτῶν ἀγοράσαι βρώματα· οὐκ οἴδαμεν, τίς ἐνέβαλεν τὸ ἀργύριον εἰς τοὺς μαρσίππους ἡμῶν.

٢٣فَقَالَ لَهُمْ: «حَاشَا لَكُمْ[٣٨٠]. لاَ تَخَافُوا. إِلَهُكُمْ وَإِلَهُ آبَائِكُمْ أَعْطَاكُمْ كُنُوزاً فِي عِدَالِكُمْ. أَمَّا فِضَّتُكُمْ فَآخُذُهَا مَقْبُولَةً». ثُمَّ أَخْرَجَ إِلَيْهِمْ شَمْعُونَ.

23 εἶπεν δὲ αὐτοῖς Ἵλεως ὑμῖν, μὴ φοβεῖσθε· ὁ θεὸς ὑμῶν καὶ ὁ θεὸς τῶν πατέρων ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν, τὸ δὲ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω. καὶ ἐξήγαγεν πρὸς αὐτοὺς τὸν Συμεων

٢٤[٣٨١]وَأَحْضَرَ مَاءً لِيَغْسِلُوا أَرْجُلَهُمْ وَأَعْطَى عَلِيقاً لِحَمِيرِهِمْ.

24 καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν καὶ ἔδωκεν χορτάσματα τοῖς ὄνοις αὐτῶν.

---

[٣٨٠] تأتي في العبري שָׁלוֹם לָכֶם (شالوم لخم) أي سلام لكم، وتأتي في اليوناني ἵλεως ὑμῖν (حرفياً: الرحمة لكم) ولكن ترجمتها: حاشا لكم (انظر ١أي ١١: ١٩؛ مت ١٦: ٢٢). وقد دخلت إلى الترجمة القبطية **ⲉ̀ⲗⲉⲱⲥ ⲛⲱⲧⲉⲛ** وترجمتها أيضاً: حاشاكم.

[٣٨١] يأتي في النص العبري: «وأدخل الرجلُ الرجالَ إلى بيت يوسف».

25 ἡτοίμασαν δὲ τὰ δῶρα ἕως τοῦ ἐλθεῖν Ιωσηφ μεσημβρίας· ἤκουσαν γὰρ ὅτι ἐκεῖ μέλλει ἀριστᾶν.	٢٥وَهَيَّأُوا الْهَدَايَا إِلَى أَنْ يَجِيءَ يُوسُفُ عِنْدَ الظُّهْرِ. لأَنَّهُمْ سَمِعُوا أَنَّهُمْ هُنَاكَ مُزْمِعُونَ أَنْ يَتَغَدَّوْا.
26 Εἰσῆλθεν δὲ Ιωσηφ εἰς τὴν οἰκίαν, καὶ προσήνεγκαν αὐτῷ τὰ δῶρα, ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν, εἰς τὸν οἶκον καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.	٢٦فَدَخَلَ يُوسُفُ الْبَيْتَ، وَقَدَّمُوا لَهُ الْهَدَايَا الَّتِي فِي أَيَادِيهِمْ إِلَى الْبَيْت وَسَجَدُوا لَهُ بِوُجُوهِهِم عَلَى الأَرْضِ.
27 ἠρώτησεν δὲ αὐτούς Πῶς ἔχετε; καὶ εἶπεν αὐτοῖς Εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν ὁ πρεσβύτερος, ὃν εἴπατε; ἔτι ζῇ;	٢٧فَسَأَلَهُمْ: «كَيْفَ حَالُكُم؟» وَقَالَ لَهُمْ: «أَبِخَيْرٍ أَبُوكُمُ الشَّيْخُ الَّذِي قُلْتُمْ عَنْهُ؟ أَحَيٌّ هُوَ بَعْدُ؟»
28 οἱ δὲ εἶπαν Ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν, ἔτι ζῇ. καὶ εἶπεν Εὐλογητὸς ὁ ἄνθρωπος ἐκεῖνος τῷ θεῷ. καὶ κύψαντες προσεκύνησαν αὐτῷ.	٢٨أَمَّا هُمْ فَقَالُوا: «عَبْدُكَ أَبُونَا بِخَيْرٍ. هُوَ حَيٌّ بَعْدُ». فَقَالَ: «مُبَارَكٌ ذَاكَ الرَّجُلُ مِنَ اللهِ»[٣٨٢]، وَخَرُّوا وَسَجَدُوا لَهُ.
29 ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς Ιωσηφ εἶδεν Βενιαμιν τὸν ἀδελφὸν αὐτοῦ τὸν	٢٩فَرَفَعَ يُوسُفُ عَيْنَيْهِ فَرَأَى بِنْيَامِينَ أَخَاهُ مِنْ أُمِّهِ

[٣٨٢] لا تأتي هذه الجملة الأخيرة في النص العبري، لكنها ترد في الترجمة اليونانية والقبطية البحيرية.

وَقَالَ: «أَهَذَا أَخُوكُمُ الأَصْغَرُ الَّذِي قُلْتُمْ سَتُحْضِرُونَه لِي؟» ثُمَّ قَالَ: «اللهُ يَرْحَمُكَ يَا ابْنِي».	ὁμομήτριον καὶ εἶπεν Οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός με ἀγαγεῖν; καὶ εἶπεν Ὁ θεὸς ἐλεήσαι σε, τέκνον.
٣٠وَاضْطَرَبَ يُوسُفُ، لأَنَّ أَحْشَاءَهُ حَنَّتْ إِلَى أَخِيه، وَالْتَمَسَ أن يَبْكِيَ فَدَخَلَ الْمَخْدَعَ وَبَكَى هُنَاكَ.	30 ἐταράχθη δὲ Ιωσηφ - συνεστρέφετο γὰρ τὰ ἔντερα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ - καὶ ἐζήτει κλαῦσαι· εἰσελθὼν δὲ εἰς τὸ ταμιεῖον ἔκλαυσεν ἐκεῖ.
٣١ثُمَّ غَسَلَ وَجْهَهُ وَخَرَجَ وَتَجَلَّدَ وَقَالَ: «قَدِّمُوا خُبْزاً».	31 καὶ νιψάμενος τὸ πρόσωπον ἐξελθὼν ἐνεκρατεύσατο καὶ εἶπεν Παράθετε ἄρτους.
٣٢فَقَدَّمُوا لَهُ وَحْدَهُ وَلَهُمْ وَحْدَهُمْ وَلِلْمِصْرِيِّينَ الآكِلِينَ مَعَهُ وَحْدَهُمْ، لأَنَّ الْمِصْرِيِّينَ لاَ يَقْدِرُونَ أَنْ يَأْكُلُوا خُبْزاً مَعَ الْعِبْرَانِيِّينَ، لأَنَّهُ رِجْسٌ عِنْدَ الْمِصْرِيِّينَ[٣٨٣].	32 καὶ παρέθηκαν αὐτῷ μόνῳ καὶ αὐτοῖς καθ᾽ ἑαυτοὺς καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσιν μετ᾽ αὐτοῦ καθ᾽ ἑαυτούς· οὐ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν Εβραίων ἄρτους, βδέλυγμα γάρ ἐστιν τοῖς Αἰγυπτίοις.
٣٣فَجَلَسُوا أَمَامَهُ: الْبِكْرُ بِحَسَبِ أَقْدَمِيَّتِه وَالصَّغِيرُ بِحَسَبِ حَدَاثَتِه. فَانْدَهَشَ	33 ἐκάθισαν δὲ ἐναντίον αὐτοῦ, ὁ πρωτότοκος κατὰ τὰ πρεσβεῖα αὐτοῦ καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ·

[٣٨٣] تضيف الترجمة القبطية البحيرية: «كل رعاة الأغنام» انظر (تك ٤٦: ٣٤).

الرِّجَالُ كُلُّ وَاحِدٍ نَحْوَ أَخِيهِ.

ἐξίσταντο δὲ οἱ ἄνθρωποι ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

٣٤وَرَفَعَ أَنْصِبَةً مِنْ عِنْدِهِ إِلَيْهِمْ. فَزَادَ نَصِيبُ بِنْيَامِينَ أَكْثَرَ مِنْ أَنْصِبَةِ الْجَمِيعِ خَمْسَةَ أَضْعَافٍ مِمَّا لَهُمْ. وَشَرِبُوا وَسَكِرُوا مَعَهُ.

34 ἦραν δὲ μερίδας παρ᾽ αὐτοῦ πρὸς αὐτούς· ἐμεγαλύνθη δὲ ἡ μερὶς Βενιαμιν παρὰ τὰς μερίδας πάντων πενταπλασίως πρὸς τὰς ἐκείνων. ἔπιον δὲ καὶ ἐμεθύσθησαν μετ᾽ αὐτοῦ.

اَلأَصْحَاحُ الرَّابِعُ وَالأَرْبَعُونَ

١ثُمَّ أَمَرَ يُوسُفُ الَّذِي عَلَى بَيْتِهِ قَائِلاً: «امْلأُوا عِدَالَ الرِّجَالِ طَعَاماً حَسَبَ مَا يَسْتَطِيعُونَ حِمْلَهُ، وَضَعُوا فِضَّةَ كُلِّ وَاحِدٍ فِي فَمِ عِدْلِهِ.

1 Καὶ ἐνετείλατο Ιωσηφ τῷ ὄντι ἐπὶ τῆς οἰκίας αὐτοῦ λέγων Πλήσατε τοὺς μαρσίππους τῶν ἀνθρώπων βρωμάτων, ὅσα ἐὰν δύνωνται ἆραι, καὶ ἐμβάλατε ἑκάστου τὸ ἀργύριον ἐπὶ τοῦ στόματος τοῦ μαρσίππου

٢وَضَعُوا كَأْسِي الْفِضَّةَ فِي عِدْلِ الصَّغِيرِ مَعَ ثَمَنِ قَمْحِهِ». فَكَانَ بِحَسَبِ كَلاَمِ يُوسُفَ، كَمَا قَالَ.

2 καὶ τὸ κόνδυ μου τὸ ἀργυροῦν ἐμβάλατε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου καὶ τὴν τιμὴν τοῦ σίτου αὐτοῦ. ἐγενήθη δὲ κατὰ τὸ ῥῆμα Ιωσηφ, καθὼς εἶπεν.

٣ثُمَّ أَضَاءَ الصُّبْحُ وَانْصَرَفَ

3 τὸ πρωὶ διέφαυσεν, καὶ οἱ ἄνθρωποι

الرِّجَالُ هُمْ وَحَمِيرُهُمْ.

ἀπεστάλησαν, αὐτοὶ καὶ οἱ ὄνοι αὐτῶν.

٤وَلَمَّا خَرَجُوا مِنَ الْمَدِينَةِ وَلَمْ يَمْضُوا بَعِيداً، قَالَ يُوسُفُ لِلَّذِي عَلَى بَيْتِه: «قُمِ اسْعَ وَرَاءَ الرِّجَالِ وَمَتَى أَدْرَكْتَهُمْ فَقُلْ لَهُمْ: لِمَاذَا جَازَيْتُمْ شَرّاً عِوَضاً عَنْ خَيْرٍ؟

4 ἐξελθόντων δὲ αὐτῶν τὴν πόλιν (οὐκ ἀπέσχον μακράν) καὶ Ιωσηφ εἶπεν τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ Ἀναστὰς ἐπιδίωξον ὀπίσω τῶν ἀνθρώπων καὶ καταλήμψῃ αὐτοὺς καὶ ἐρεῖς αὐτοῖς Τί ὅτι ἀνταπεδώκατε πονηρὰ ἀντὶ καλῶν;

٥لِمَاذَا سَرَقْتُمْ كَأْسِيَ الْفِضَّةَ، أَلَيْسَ هَذَا هُوَ الَّذِي يَشْرَبُ سَيِّدِي فِيهِ؟ وَهُوَ يَتَفَاءَلُ بِهِ تَفَاؤُلاً. لَقَدْ أَكْمَلْتُمِ الشَّرَّ فِي مَا صَنَعْتُمْ».

5 ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν; οὐ τοῦτό ἐστιν, ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνισμῷ οἰωνίζεται ἐν αὐτῷ. πονηρὰ συντετέλεσθε, ἃ πεποιήκατε.

٦فَوَجَدَهُم وَقَالَ لَهُمْ حَسَبَ هَذَا الْكَلاَمِ.

6 εὑρὼν δὲ αὐτοὺς εἶπεν αὐτοῖς κατὰ τὰ ῥήματα ταῦτα.

٧أَمَّا هُمْ فَقَالُوا لَهُ: «لِمَاذَا يَتَكَلَّمُ السَّيِّدُ مِثْلَ هَذَا الْكَلاَمِ؟ حَاشَا لِعَبِيدِكَ أَنْ يَفْعَلُوا مِثْلَ هَذَا الأَمْرِ!

7 οἱ δὲ εἶπον αὐτῷ Ἵνα τί λαλεῖ ὁ κύριος κατὰ τὰ ῥήματα ταῦτα; μὴ γένοιτο τοῖς παισίν σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο.

٨إِنْ كَانَ الْفِضَّةُ الَّتِي وَجَدْنَاهَا فِي عِدَالِنَا رَدَدْنَاهَا

8 εἰ τὸ μὲν ἀργύριον, ὃ εὕρομεν ἐν τοῖς μαρσίπποις ἡμῶν, ἀπεστρέψαμεν πρὸς σὲ

إِلَيْكَ مِنْ أَرْضِ كَنْعَانَ، فَكَيْفَ نَسْرِقُ مِنْ بَيْتِ سَيِّدِكَ فِضَّةً أَوْ ذَهَباً؟

ἐκ γῆς Χανααν, πῶς ἂν κλέψαιμεν ἐκ τοῦ οἴκου τοῦ κυρίου σου ἀργύριον ἢ χρυσίον;

٩الَّذِي تُوجَدُ الْكَأْسُ عِنْدَهُ مِنْ عَبِيدِكَ يَمُوتُ، وَنَحْنُ أَيْضاً نَصِيرُ عَبِيداً لِسَيِّدِنَا».

9 παρ᾽ ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ τῶν παίδων σου, ἀποθνῃσκέτω· καὶ ἡμεῖς δὲ ἐσόμεθα παῖδες τῷ κυρίῳ ἡμῶν.

١٠فَقَالَ: «فَالآنَ كَمَا تَقُولُونَ هكَذَا يَكُونُ. الرَّجُلُ الَّذِي تُوجَدُ عِنْدَهُ الْكَأْسُ فَهذَا يَكُونُ لِي عَبْداً، وَأَمَّا أَنْتُمْ فَتَكُونُونَ أَبْرِيَاءَ».

10 ὁ δὲ εἶπεν Καὶ νῦν ὡς λέγετε, οὕτως ἔσται· ὁ ἄνθρωπος, παρ᾽ ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς, ὑμεῖς δὲ ἔσεσθε καθαροί.

١١فَأَسْرَعُوا وَأَنْزَلُوا كُلُّ وَاحِدٍ عِدْلَهُ عَلَى الأَرْضِ وَفَتَحُوا كُلُّ وَاحِدٍ عِدْلَهُ.

11 καὶ ἔσπευσαν καὶ καθεῖλαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ ἤνοιξαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ.

١٢فَفَتَّشَ مُبْتَدِئاً مِنَ الْكَبِيرِ حَتَّى أَتَى إِلَى الصَّغِيرِ. فَوَجَدَ الْكَأْسَ فِي عِدْلِ بِنْيَامِينَ.

12 ἠρεύνα δὲ ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος ἕως ἦλθεν ἐπὶ τὸν νεώτερον, καὶ εὗρεν τὸ κόνδυ ἐν τῷ μαρσίππῳ τῷ Βενιαμιν.

١٣فَمَزَّقُوا ثِيَابَهُمْ وَحَمَّلَ كُلُّ وَاحِدٍ عِدْلَهُ عَلَى حِمَارِهِ

13 καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐπέθηκαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ

وَرَجَعُوا إِلَى الْمَدِينَةِ.

ἐπὶ τὸν ὄνον αὐτοῦ καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν.

١٤فَدَخَلَ يَهُوذَا وَإِخْوَتُهُ إِلَى يُوسُفَ وَهُوَ بَعْدُ هُنَاكَ وَوَقَعُوا أَمَامَهُ عَلَى الأَرْضِ.

14 Εἰσῆλθεν δὲ Ιουδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρὸς Ιωσηφ ἔτι αὐτοῦ ὄντος ἐκεῖ καὶ ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν γῆν.

١٥فَقَالَ لَهُمْ يُوسُفُ: «مَا هَذَا الْفِعْلُ الَّذِي فَعَلْتُمْ؟ أَلَمْ تَعْلَمُوا أَنَّ رَجُلاً مِثْلِي يَتَفَاءَلُ تَفَاؤلاً؟»

15 εἶπεν δὲ αὐτοῖς Ιωσηφ Τί τὸ πρᾶγμα τοῦτο, ὃ ἐποιήσατε; οὐκ οἴδατε ὅτι οἰωνισμῷ οἰωνιεῖται ἄνθρωπος οἷος ἐγώ;

١٦فَقَالَ يَهُوذَا: «بِمَاذَا نُجِيبُ سَيِّدِي؟ أَوْ بِمَاذَا نَتَكَلَّمُ أَوْ بِمَاذَا نَتَبَرَّرُ؟ أَمَّا اللهُ فَقَدْ وَجَدَ ظُلْمَ عَبِيدِكَ. هَا نَحْنُ عَبِيدٌ لِسَيِّدِنَا، نَحْنُ وَالَّذِي وُجِدَتِ الْكَأْسُ عِنْدَهُ».

16 εἶπεν δὲ Ιουδας Τί ἀντεροῦμεν τῷ κυρίῳ ἢ τί λαλήσωμεν ἢ τί δικαιωθῶμεν; ὁ δὲ θεὸς εὗρεν τὴν ἀδικίαν τῶν παίδων σου. ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν, καὶ ἡμεῖς καὶ παρ᾽ ᾧ εὑρέθη τὸ κόνδυ.

١٧فَقَالَ يُوسُفُ: «حَاشَا لِي أَنْ أَفْعَلَ هَذَا الأَمْرَ! الرَّجُلُ الَّذِي وُجِدَتِ الْكَأْسُ عِنْدَهُ هُوَ يَكُونُ لِي عَبْداً، وَأَمَّا أَنْتُمْ

17 εἶπεν δὲ Ιωσηφ Μή μοι γένοιτο ποιῆσαι τὸ ῥῆμα τοῦτο· ὁ ἄνθρωπος, παρ᾽ ᾧ εὑρέθη τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς, ὑμεῖς δὲ ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν

فَاصْعَدُوا بِسَلاَمٍ إِلَى أَبِيكُمْ».

πατέρα ὑμῶν.

١٨ثُمَّ تَقَدَّمَ إِلَيْهِ يَهُوذَا وَقَالَ: «أَتَوَسَّلُ إِلَيْكَ يَا سَيِّدِي. لِيَتَكَلَّمْ عَبْدُكَ كَلِمَةً أَمَامَكَ، وَلاَ تَغْضَبْ عَلَى عَبْدِكَ لأَنَّكَ بَعْدَ فِرْعَوْنَ.

18 Ἐγγίσας δὲ αὐτῷ Ιουδας εἶπεν Δέομαι, κύριε, λαλησάτω ὁ παῖς σου ῥῆμα ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, ὅτι σὺ εἶ μετὰ Φαραω.

١٩سَيِّدِي، أَنْتَ سَأَلْتَ عَبِيدَكَ قَائِلاً: هَلْ لَكُمْ أَبٌ أَوْ أَخٌ؟

19 κύριε, σὺ ἠρώτησας τοὺς παῖδάς σου λέγων Εἰ ἔχετε πατέρα ἢ ἀδελφόν;

٢٠فَقُلْنَا لِسَيِّدِي: لَنَا أَبٌ شَيْخٌ وَلَهُ ابْنُ شَيْخُوخَةٍ صَغِيرٌ، مَاتَ أَخُوهُ وَبَقِيَ هُوَ وَحْدَهُ لأُمِّهِ، فَأَحَبَّهُ أَبُوهُ.

20 καὶ εἴπαμεν τῷ κυρίῳ Ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος καὶ παιδίον γήρως νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν, αὐτὸς δὲ μόνος ὑπελείφθη τῇ μητρὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησεν.

٢١فَقُلْتَ لِعَبِيدِكَ: انْزِلُوا بِهِ إِلَيَّ فَسَأَعْتَنِي بِهِ[٣٨٤].

21 εἶπας δὲ τοῖς παισίν σου Καταγάγετε αὐτὸν πρός με, καὶ ἐπιμελοῦμαι αὐτοῦ.

٢٢فَقُلْنَا لِسَيِّدِي: لاَ يَقْدِرُ الْغُلاَمُ أَنْ يَتْرُكَ أَبَاهُ. فَإِنْ تَرَكَ

22 καὶ εἴπαμεν τῷ κυρίῳ Οὐ δυνήσεται τὸ παιδίον καταλιπεῖν τὸν πατέρα· ἐὰν δὲ

[٣٨٤] تأتي في العبري: וְאָשִׂימָה עֵינִי עָלָיו فأجعل عيني عليه، وفي اليوناني: فسأعتني به، ومنها للقبطي البحيري: ειεοϩιοϯβηϥ فسأعتني به.

καταλίπῃ τὸν πατέρα, ἀποθανεῖται.

أَبَاهُ يَمُوتُ (أَبُوهُ).

23 σὺ δὲ εἶπας τοῖς παισίν σου Ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾽ ὑμῶν, οὐ προσθήσεσθε ἔτι ἰδεῖν τὸ πρόσωπόν μου.

٢٣أَمَّا أَنْتَ فَقُلْتَ لِعَبِيدِكَ: إِنْ لَمْ يَنْزِلْ أَخُوكُمُ الأَصْغَرُ مَعَكُمْ لَنْ تَعُودُوا تَنْظُرُونَ وَجْهِي.

24 ἐγένετο δὲ ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου πατέρα δὲ ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥήματα τοῦ κυρίου.

٢٤فَكَانَ لَمَّا صَعِدْنَا إِلَى عَبْدِكَ أَبِينَا أَنَّنَا أَخْبَرْنَاهُ بِكَلاَمِ سَيِّدِي.

25 εἶπεν δὲ ἡμῖν ὁ πατὴρ ἡμῶν Βαδίσατε πάλιν, ἀγοράσατε ἡμῖν μικρὰ βρώματα.

٢٥فَقَالَ لَنَا أَبُونَا: امْضُوا أَيْضاً اشْتَرُوا لَنَا قَلِيلاً مِنَ الطَّعَامِ.

26 ἡμεῖς δὲ εἴπαμεν Οὐ δυνησόμεθα καταβῆναι· ἀλλ᾽ εἰ μὲν ὁ ἀδελφὸς ἡμῶν ὁ νεώτερος καταβαίνει μεθ᾽ ἡμῶν, καταβησόμεθα· οὐ γὰρ δυνησόμεθα ἰδεῖν τὸ πρόσωπον τοῦ ἀνθρώπου, τοῦ ἀδελφοῦ τοῦ νεωτέρου μὴ ὄντος μεθ᾽ ἡμῶν.

٢٦أَمَّا نَحْنُ فَقُلْنَا: لاَ نَقْدِرُ أَنْ نَنْزِلَ. وَإِنَّمَا إِذَا نَزَلَ أَخُونَا الأَصْغَرُ مَعَنَا فَسَنَنْزِلُ، لأَنَّنَا لاَ نَقْدِرُ أَنْ نَنْظُرَ وَجْهَ الرَّجُلِ وَأَخُونَا الأَصْغَرُ لَيْسَ مَعَنَا.

27 εἶπεν δὲ ὁ παῖς σου ὁ πατὴρ ἡμῶν πρὸς ἡμᾶς Ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέν μοι ἡ γυνή·

٢٧فَقَالَ لَنَا عَبْدُكَ أَبُونَا: أَنْتُمْ تَعْلَمُونَ أَنَّ امْرَأَتِي وَلَدَتْ لِي اثْنَيْنِ،

28 καὶ ἐξῆλθεν ὁ εἷς ἀπ᾽ ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονεν, καὶ οὐκ εἶδον αὐτὸν ἔτι καὶ νῦν·

٢٨فَخَرَجَ الْوَاحِدُ مِنْ عِنْدِي، وَقُلْتُمْ: إِنَّمَا صَارَ فَرِيسَةً لِوَحْشٍ. وَلَمْ أَنْظُرْهُ إِلَى الآنَ.

29 ἐὰν οὖν λάβητε καὶ τοῦτον ἐκ προσώπου μου καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου.

٢٩فَإِذَا أَخَذْتُمْ هَذَا أَيْضاً مِنْ أَمَامِ وَجْهِي وَأَصَابَتْهُ أَذِيَّةٌ فِي الطَّرِيقِ تُنْزِلُونَ شَيْبَتِي بِحُزْنٍ إِلَى الْهَاوِيَةِ.

30 νῦν οὖν ἐὰν εἰσπορεύωμαι πρὸς τὸν παῖδά σου πατέρα δὲ ἡμῶν καὶ τὸ παιδάριον μὴ ᾖ μεθ᾽ ἡμῶν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐκκρέμαται ἐκ τῆς τούτου ψυχῆς,

٣٠فَالآنَ، إِذاً، إِنْ دَخَلْتُ إِلَى عَبْدِكَ أَبِينَا، وَالْغُلاَمُ لَيْسَ مَعَنَا، وَنَفْسُهُ مُتَعَلِّقَةٌ بِنَفْسِ هَذَا،

31 καὶ ἔσται ἐν τῷ ἰδεῖν αὐτὸν μὴ ὂν τὸ παιδάριον μεθ᾽ ἡμῶν τελευτήσει, καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παιδός σου πατρὸς δὲ ἡμῶν μετ᾽ ὀδύνης εἰς ᾅδου.

٣١يَكُونُ مَتَى رَأَى أَنَّ الْغُلاَمَ لَيْسَ مَعَنَا أَنَّهُ يَمُوتُ فَيُنْزِلُ عَبِيدُكَ شَيْبَةَ عَبْدِكَ أَبِينَا بِأَلَمٍ إِلَى الْهَاوِيَةِ،

32 ὁ γὰρ παῖς σου ἐκδέδεκται τὸ παιδίον παρὰ τοῦ πατρὸς λέγων Ἐὰν μὴ ἀγάγω

٣٢لأَنَّ عَبْدَكَ ضَمِنَ الْغُلاَمَ عِنْدَ أَبِي قَائلاً: إِذَا لَمْ أَجِئْ به

إِلَيْكَ وَأُوقِفْهُ أَمَامَكَ[٣٨٥] أَصِيرُ مُذْنِباً إِلَى أَبِي كُلَّ الأَيَّامِ.

αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι πρὸς τὸν πατέρα πάσας τὰς ἡμέρας.

٣٣فَالآنَ إِذاً لِيَمْكُثْ عَبْدُكَ عِوَضاً عَنِ الْغُلاَمِ عَبْداً لِسَيِّدِي، وَلْيَصْعَدِ الْغُلاَمُ مَعَ إِخْوَتِه.

33 νῦν οὖν παραμενῶ σοι παῖς ἀντὶ τοῦ παιδίου, οἰκέτης τοῦ κυρίου· τὸ δὲ παιδίον ἀναβήτω μετὰ τῶν ἀδελφῶν.

٣٤لأَنِّي كَيْفَ أَصْعَدُ إِلَى أَبِي وَالْغُلاَمُ لَيْسَ مَعَنَا؟ لِئَلاَ أَنْظُرَ الشُّرُورَ الَّتِي تُصِيبُ أَبِي!».

34 πῶς γὰρ ἀναβήσομαι πρὸς τὸν πατέρα, τοῦ παιδίου μὴ ὄντος μεθ᾽ ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακά, ἃ εὑρήσει τὸν πατέρα μου.

اَلأَصْحَاحُ الْخَامِسُ وَالأَرْبَعُونَ

١فَلَمْ يَسْتَطِعْ يُوسُفُ أَنْ يَضْبِطَ نَفْسَهُ لَدَى جَمِيعِ الْوَاقِفِينَ عِنْدَهُ، بَلْ قَالَ: «أَخْرِجُوا الْجَمِيعَ عَنِّي!» فَلَمْ

1 Καὶ οὐκ ἠδύνατο Ιωσηφ ἀνέχεσθαι πάντων τῶν παρεστηκότων αὐτῷ, ἀλλ᾽ εἶπεν Ἐξαποστείλατε πάντας ἀπ᾽ ἐμοῦ. καὶ οὐ παρειστήκει οὐδεὶς ἔτι τῷ Ιωσηφ, ἡνίκα

[٣٨٥] لا تأتي عبارة: وأوقفه أمامك، في النص العبري، لكنها ترد في الترجمة اليونانية والقبطية البحيرية، انظر (تك ٤٣: ٩).

يَقِفْ أَحَدٌ آخَرَ عِنْدَ يُوسُفَ حِينَ عَرَّفَ نَفْسَهُ لإِخْوَتِه.

ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς αὐτοῦ.

٢فَأَطْلَقَ صَوْتَهُ بِالْبُكَاءِ. فَسَمِعَ جَمِيعُ الْمِصْرِيِّينَ وَصَارَ مَسْمُوعاً فِي بَيْتِ فِرْعَوْنَ.

2 καὶ ἀφῆκεν φωνὴν μετὰ κλαυθμοῦ· ἤκουσαν δὲ πάντες οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραω.

٣وَقَالَ يُوسُفُ لإِخْوَتِه: «أَنَا يُوسُفُ. أَحَيٌّ أَبِي بَعْدُ؟» فَلَمْ يَسْتَطِعْ إِخْوَتُهُ أَنْ يُجِيبُوهُ، لأَنَّهُمُ ارْتَعَدُوا.

3 εἶπεν δὲ Ιωσηφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγώ εἰμι Ιωσηφ· ἔτι ὁ πατήρ μου ζῇ; καὶ οὐκ ἐδύναντο οἱ ἀδελφοὶ ἀποκριθῆναι αὐτῷ· ἐταράχθησαν γάρ.

٤فَقَالَ يُوسُفُ لإِخْوَتِه: «اقْتَرِبُوا إِلَيَّ»، فَاقْتَرَبُوا. فَقَالَ: «أَنَا يُوسُفُ أَخُوكُمُ الَّذِي بِعْتُمُوهُ إِلَى مِصْرَ.

4 εἶπεν δὲ Ιωσηφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγγίσατε πρός με. καὶ ἤγγισαν. καὶ εἶπεν Ἐγώ εἰμι Ιωσηφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον.

٥وَالآنَ لاَ تَحْزَنُوا وَلاَ يَتَرَاءَى لَكُمُ الأَمْرُ قَاسِياً أَنَّكُمْ بِعْتُمُونِي إِلَى هُنَا، لأَنَّهُ (لاسْتِبْقَاءِ) حَيَاةٍ أَرْسَلَنِيَ اللهُ قُدَّامَكُمْ.

5 νῦν οὖν μὴ λυπεῖσθε μηδὲ σκληρὸν ὑμῖν φανήτω ὅτι ἀπέδοσθέ με ὧδε· εἰς γὰρ ζωὴν ἀπέστειλέν με ὁ θεὸς ἔμπροσθεν ὑμῶν·

٦لأَنَّ هَذِهِ هِيَ سَنَةٌ ثَانِيَةٌ لِلْجُوعِ عَلَى الأَرْضِ. وَبَاقٍ

6 τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὰ πέντε ἔτη, ἐν οἷς οὐκ

أَيْضاً خَمْسُ سِنِينَ، لاَ يَكُونُ فِيهَا حَرْثٌ وَلاَ حَصَادٌ.	ἔσται ἀροτρίασις οὐδὲ ἄμητος·
٧فَقَدْ أَرْسَلَنِي اللهُ قُدَّامَكُمْ لِيُبْقِي لَكُمْ بَقِيَّةً عَلَى الأَرْضِ، وَلْيَعُولَ بَقِيَّةً عَظِيمَةً لَكُمْ.	7 ἀπέστειλεν γάρ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῶν κατάλειμμα ἐπὶ τῆς γῆς καὶ ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην.
٨الآنَ، إِذاً، مَا أَرْسَلْتُمُونِي أَنْتُمْ إِلَى هُنَا، بَلِ اللهُ. وَهُوَ قَدْ جَعَلَنِي كَأَبٍ لِفِرْعَوْنَ، وَسَيِّداً لِكُلِّ بَيْتِهِ، وَرَئِيساً عَلَى كُلِّ أَرْضِ مِصْرَ.	8 νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ᾽ ἢ ὁ θεός, καὶ ἐποίησέν με ὡς πατέρα Φαραω καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου.
٩أَسْرِعُوا إِذاً وَاصْعَدُوا إِلَى أَبِي وَقُولُوا لَهُ: هَكَذَا يَقُولُ ابْنُكَ يُوسُفُ: قَدْ جَعَلَنِيَ اللهُ سَيِّداً لِكُلِّ أَرْضِ مِصْرَ. انْزِلْ إِذاً إِلَيَّ، وَلاَ تَتَوَانَ.	9 σπεύσαντες οὖν ἀνάβητε πρὸς τὸν πατέρα μου καὶ εἴπατε αὐτῷ Τάδε λέγει ὁ υἱός σου Ιωσηφ Ἐποίησέν με ὁ θεὸς κύριον πάσης γῆς Αἰγύπτου· κατάβηθι οὖν πρός με καὶ μὴ μείνῃς·
١٠فَتَسْكُنَ فِي أَرْضِ جَاسَانَ الْعَرَبِيَّةِ[٣٨٦]، وَتَكُونَ	10 καὶ κατοικήσεις ἐν γῇ Γεσεμ Ἀραβίας καὶ ἔσῃ ἐγγύς μου, σὺ καὶ οἱ υἱοί σου καὶ οἱ

[٣٨٦] لا تأتي كلمة: «العربية» Ἀραβίας في النص العبري، لكنها ترد في الترجمة اليونانية والقبطية البحيرية، والمقصود بها مقاطعة جاسان بأرض مصر (انظر تك ٤٧: ٢٧) والتي تقع شرق دلتا النيل وتطل من الشرق على الصحراء العربية المعروفة في الكتاب المقدس باسم: العربية Ἀραβίας (غل ١: ١٧؛ ٤: ٢٥) مرورا بصحراء سيناء.

قَرِيباً مِنِّي أَنْتَ وَبَنُوكَ وَبَنُو بَنِيكَ وَغَنَمُكَ وَبَقَرُكَ وَكُلُّ مَا لَكَ.

υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου καὶ αἱ βόες σου καὶ ὅσα σοί ἐστιν,

١١وَأَعُولُكَ هُنَاكَ، لأَنَّهُ يَكُونُ أَيْضاً خَمْسُ سِنِينَ جُوعاً، لِكَي لاَ تَفْنَى أَنْتَ وَبَنُوكَ[٣٨٧] وَجَمِيعُ أَمْوَالِكَ.

11 καὶ ἐκθρέψω σε ἐκεῖ—ἔτι γὰρ πέντε ἔτη λιμός—, ἵνα μὴ ἐκτριβῇς, σὺ καὶ οἱ υἱοί σου καὶ πάντα τὰ ὑπάρχοντά σου.

١٢وَهُوَذَا عُيُونُكُمْ تَرَى وَعَيْنَا أَخِي بَنْيَامِينَ أَنَّ فَمِي هُوَ الَّذِي يُكَلِّمُكُمْ.

12 ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσιν καὶ οἱ ὀφθαλμοὶ Βενιαμιν τοῦ ἀδελφοῦ μου ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς.

١٣فَأَخْبِرُوا أَبِي بِكُلِّ مَجْدِي فِي مِصْرَ وَبِكُلِّ مَا رَأَيْتُمْ، وَأَسْرِعُوا وَأَنْزِلُوا أَبِي إِلَى هُنَا».

13 ἀπαγγείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ καὶ ὅσα εἴδετε, καὶ ταχύναντες καταγάγετε τὸν πατέρα μου ὧδε.

١٤ثُمَّ وَقَعَ عَلَى عُنُقِ بِنْيَامِينَ أَخِيهِ وَبَكَى عَلَيْهِ. وَبَكَى بِنْيَامِينُ عَلَى عُنُقِهِ[٣٨٨].

14 καὶ ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Βενιαμιν τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν ἐπ᾽ αὐτῷ, καὶ Βενιαμιν ἔκλαυσεν ἐπὶ τῷ τραχήλῳ αὐτοῦ.

---

[٣٨٧] تأتي في النص العبري: أنت وبيتك، وتأتي في الترجمة القبطية البحيرية: أنت وبنوك وبيتك.

[٣٨٨] لا تأتي هذه الجملة الأخيرة في الترجمة القبطية البحيرية.

[١٥]وَقَبَّلَ جَمِيعَ إِخْوَتِهِ وَبَكَى عَلَيْهِمْ. وَبَعْدَ ذَلِكَ تَكَلَّمَ إِخْوَتُهُ مَعَهُ.

15 καὶ καταφιλήσας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἔκλαυσεν ἐπ᾽ αὐτοῖς, καὶ μετὰ ταῦτα ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν.

[١٦]وَحُمِلَ الْخَبَرُ إِلَى بَيْتِ فِرْعَوْنَ وَقِيلَ: «جَاءَ إِخْوَةُ يُوسُفَ». فَفَرِحَ فِرْعَوْنُ وَخُدَّامُهُ.

16 Καὶ διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραω λέγοντες Ἥκασιν οἱ ἀδελφοὶ Ιωσηφ. ἐχάρη δὲ Φαραω καὶ ἡ θεραπεία αὐτοῦ.

[١٧]فَقَالَ فِرْعَوْنُ لِيُوسُفَ: «قُلْ لإِخْوَتِكَ: افْعَلُوا هَذَا. حَمِّلُوا دَوَابَّكُمْ[٣٨٩] وَانْطَلِقُوا إِلَى أَرْضِ كَنْعَانَ.

17 εἶπεν δὲ Φαραω πρὸς Ιωσηφ Εἰπὸν τοῖς ἀδελφοῖς σου Τοῦτο ποιήσατε· γεμίσατε τὰ πορεῖα ὑμῶν καὶ ἀπέλθατε εἰς γῆν Χανααν

[١٨]وَخُذُوا أَبَاكُمْ وَمُمْتَلَكَاتِكُم وَتَعَالُوا إِلَيَّ. فَأُعْطِيَكُمْ مِنْ جَمِيعِ خَيْرَاتِ مِصْرَ وَتَأْكُلُوا دَسَمَ[٣٩٠] الأَرْضِ.

18 καὶ παραλαβόντες τὸν πατέρα ὑμῶν καὶ τὰ ὑπάρχοντα ὑμῶν ἥκετε πρός με, καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν μυελὸν τῆς γῆς.

---

[٣٨٩] الكلمة اليونانية πορεῖα تعني وسائل النقل من دواب أو مركبات، والمقصود بها هنا الحمير والجمال، لأنه لم يُذكر أن لبني يعقوب عجلات أو مركبات، وهي غير كلمة عجلات ἅμαξα الواردة في العدد ١٩.

[٣٩٠] تأتي في النص العبري: חֵלֶב (حِلب) بمعنى دسم، وتأتي في اليوناني μυελός بمعنى نخاع العظام، أي أثمن ما في الأرض (مخاخ: عب ٤: ١٢).

١٩أَمَّا أَنْتَ فَأَوْصِي بِهَذَا، أَنْ يَأْخُذُوا لَهُمْ مِنْ أَرْضِ مِصْرَ عَجَلاَت لأَوْلاَدِكُمْ وَنِسَائِكُمْ وَاحْمِلُوا أَبَاكُمْ وَتَعَالُوا.	19 σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοῖς ἁμάξας ἐκ γῆς Αἰγύπτου τοῖς παιδίοις ὑμῶν καὶ ταῖς γυναιξίν, καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν παραγίνεσθε·
٢٠وَلاَ تَشْفِقُوا بِعُيُونِكُمْ عَلَى أَمْتِعَتِكُمْ لأَنَّ جَمِيعَ خَيْرَاتِ مِصْرَ تَكُونُ لَكُمْ».	20 καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν, τὰ γὰρ πάντα ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται.
٢١فَفَعَلَ بَنُو إِسْرَائِيلَ هَكَذَا. وَأَعْطَاهُمْ يُوسُفُ عَجَلاَت بِحَسَبِ مَا قِيلَ مِنْ الْمَلِك فِرْعَوْنَ[٣٩١]، وَأَعْطَاهُمْ زَاداً لِلطَّرِيقِ.	21 ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ισραηλ· ἔδωκεν δὲ Ιωσηφ αὐτοῖς ἁμάξας κατὰ τὰ εἰρημένα ὑπὸ Φαραω τοῦ βασιλέως καὶ ἔδωκεν αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν,
٢٢وَمَنَحَ الْجَمِيعَ حُلَّتَيْنِ مِنَ الثِّيَابِ، وَأَمَّا بِنْيَامِينَ فَمَنَحَهُ ثَلاَثَ مِئَة مِنَ الذَّهَبِ وَخَمْسَ حُلَلٍ مُتَمَيِّزَة.	22 καὶ πᾶσιν ἔδωκεν δισσὰς στολάς, τῷ δὲ Βενιαμιν ἔδωκεν τριακοσίους χρυσοῦς καὶ πέντε ἐξαλλασσούσας στολάς,
٢٣وَأَرْسَلَ لأَبِيهِ (هَدَايَا) مِثْلَ هَذِهِ، وَعَشَرَة حَمِير حَامِلَةً مِنْ جَمِيع خَيْرَات	23 καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλεν κατὰ τὰ αὐτὰ καὶ δέκα ὄνους αἴροντας ἀπὸ πάντων τῶν ἀγαθῶν Αἰγύπτου καὶ δέκα

[٣٩١] تأتي في الترجمة القبطية البحيرية: «من فرعون ملك مصر».

مصْرَ، وَعَشَرَ بِغَالٍ حَامِلَةً خُبْزاً[٢٩٢] لأَبِيهِ لأَجْلِ الطَّرِيقِ.

ἡμιόνους αἰρούσας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς ὁδόν.

٢٤ثُمَّ أَرْسَلَ إِخْوَتَهُ فَمَضَوْا. وَقَالَ لَهُمْ: «لاَ تَتَغَاضَبُوا فِي الطَّرِيقِ».

24 ἐξαπέστειλεν δὲ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἐπορεύθησαν· καὶ εἶπεν αὐτοῖς Μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ.

٢٥فَصَعِدُوا مِنْ مِصْرَ وَجَاءُوا إِلَى أَرْضِ كَنْعَانَ إِلَى يَعْقُوبَ أَبِيهِمْ،

25 Καὶ ἀνέβησαν ἐξ Αἰγύπτου καὶ ἦλθον εἰς γῆν Χανααν πρὸς Ιακωβ τὸν πατέρα αὐτῶν

٢٦وَأَخْبَرُوهُ قَائِلِينَ: «إِنَّ يُوسُفَ ابْنَكَ حَيٌّ، وَهُوَ مُتَسَلِّطٌ عَلَى كُلِّ أَرْضِ مِصْرَ!» فَانْذَهَلَ عَقْلُ يَعْقُوبَ لأَنَّهُ لَمْ يُصَدِّقْهُمْ.

26 καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες ὅτι Ὁ υἱός σου Ιωσηφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ ἐξέστη ἡ διάνοια Ιακωβ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς.

٢٧ثُمَّ كَلَّمُوهُ بِكُلِّ كَلاَمِ يُوسُفَ الَّذِي كَلَّمَهُمْ بِهِ، وَلَمَّا أَبْصَرَ الْعَجَلاَتِ الَّتِي أَرْسَلَهَا يُوسُفُ لِتَحْمِلَهُ، انْتَعَشَتْ[٢٩٣] رُوحُ يَعْقُوبَ أَبِيهِمْ.

27 ἐλάλησαν δὲ αὐτῷ πάντα τὰ ῥηθέντα ὑπὸ Ιωσηφ, ὅσα εἶπεν αὐτοῖς. ἰδὼν δὲ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ιωσηφ ὥστε ἀναλαβεῖν αὐτόν, ἀνεζωπύρησεν τὸ πνεῦμα Ιακωβ τοῦ πατρὸς αὐτῶν.

---

[٢٩٢] تأتي في النص العبري: «عشر أتن حاملة حنطة وخبزاً وطعاماً»، ويُجملها النص اليوناني والقبطي البحيري: «حاملة خبزاً»، أي زاداً للطريق.

[٢٩٣] الفعل اليوناني ἀναζωπυρέω يعني: اشتعلت ناراً أو اضطرمت، انظر (٢تي ١: ٦).

28 εἶπεν δὲ Ισραηλ Μέγα μοί ἐστιν, εἰ ἔτι Ιωσηφ ὁ υἱός μου ζῇ· πορευθεὶς ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με.

٢٨فَقَالَ إِسْرَائِيلُ: «عَظِيمٌ عَلَيَّ هَذَا، إِنْ كَانَ يُوسُفُ ابْنِي حَيٌّ بَعْدُ. أَذْهَبُ وَأَرَاهُ قَبْلَ أَنْ أَمُوتَ».

اَلأَصْحَاحُ السَّادِسُ وَالأَرْبَعُونَ

1 Ἀπάρας δὲ Ισραηλ, αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου καὶ ἔθυσεν θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ισαακ.

١فَارْتَحَلَ إِسْرَائِيلُ هُوَ وَكُلُّ مَا لَهُ، وَأَتَى إِلَى بِئْرِ الْقَسَمِ وَذَبَحَ ذَبِيحَةً لإِلَهِ أَبِيهِ إِسْحَاقَ.

2 εἶπεν δὲ ὁ θεὸς Ισραηλ ἐν ὁράματι τῆς νυκτὸς εἴπας Ιακωβ, Ιακωβ. ὁ δὲ εἶπεν Τί ἐστιν;

٢فَكَلَّمَ اللهُ إِسْرَائِيلَ فِي رُؤْيَا اللَّيْلِ قَائِلاً: «يَعْقُوبُ يَعْقُوبُ». فَقَالَ: «مَا الأَمْرُ؟».

3 λέγων Ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον· εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ,

٣فَقَالَ: «أَنَا هُوَ إِلَهُ آبَائِكَ. لاَ تَخَفْ أَنْ تَنْزِلَ إِلَى مِصْرَ، لأَنِّي أَجْعَلُكَ أُمَّةً عَظِيمَةً هُنَاكَ.

4 καὶ ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος, καὶ Ιωσηφ ἐπιβαλεῖ τὰς χεῖρας ἐπὶ τοὺς

٤وَأَنَا أَنْزِلُ مَعَكَ إِلَى مِصْرَ، وَأَنَا أُصْعِدُكَ أَخِيراً. وَيَضَعُ يُوسُفُ يَدَيْهِ عَلَى

عَيْنَيْكَ».

٥فَقَامَ يَعْقُوبُ مِنْ بِئْرِ الْقَسَمِ، وَحَمَلَ بَنُو إِسْرَائِيلَ أَبَاهُمْ وَمَتَاعَهُمْ[٣٩٤] وَنِسَاءَهُمْ[٣٩٥] فِي الْعَجَلاَتِ الَّتِي أَرْسَلَهَا يُوسُفُ[٣٩٦] لِحَمْلِهِ.

٦وَحَمَّلُوا مُمْتَلَكَاتِهِمْ وَكُلَّ مُقْتَنَاهُمِ الَّذِي اقْتَنُوا فِي أَرْضِ كَنْعَانَ، وَجَاءُوا إِلَى مِصْرَ. يَعْقُوبُ وَكُلُّ نَسْلِهِ مَعَهُ.

٧بَنُوهُ وَبَنُو بَنِيهِ مَعَهُ وَبَنَاتُهُ وَبَنَاتُ بَنِيهِ وَكُلُّ نَسْلِهِ جَاءَ بِهِمْ إِلَى مِصْرَ.

٨وَهَذِهِ أَسْمَاءُ بَنِي إِسْرَائِيلَ الَّذِينَ جَاءُوا إِلَى مِصْرَ: يَعْقُوبُ وَبَنُوهُ. بِكْرُ يَعْقُوبَ رَأُوبَيْنُ.

ὀφθαλμούς σου.

5 ἀνέστη δὲ Ιακωβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἀνέλαβον οἱ υἱοὶ Ισραηλ τὸν πατέρα αὐτῶν καὶ τὴν ἀποσκευὴν καὶ τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ιωσηφ ἆραι αὐτόν,

6 καὶ ἀναλαβόντες τὰ ὑπάρχοντα αὐτῶν καὶ πᾶσαν τὴν κτῆσιν, ἣν ἐκτήσαντο ἐν γῇ Χανααν, εἰσῆλθον εἰς Αἴγυπτον, Ιακωβ καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ᾽ αὐτοῦ,

7 υἱοὶ καὶ οἱ υἱοὶ τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ, θυγατέρες καὶ θυγατέρες τῶν υἱῶν αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον.

8 Ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Ισραηλ τῶν εἰσελθόντων εἰς Αἴγυπτον. Ιακωβ καὶ οἱ υἱοὶ αὐτοῦ· πρωτότοκος Ιακωβ Ρουβην.

[٣٩٤] الكلمة اليونانية ἀποσκευή تعني إما أهل البيت، أو متاع البيت (انظر تك ٤٣: ٨ والحاشية).

[٣٩٥] لا تأتي كلمة: «ونساءهم» في الترجمة القبطية طبعة ١٩٣٣.

[٣٩٦] تأتي في العبري: فرعون.

9 υἱοὶ δὲ Ρουβην· Ενωχ καὶ Φαλλους, Ασρων καὶ Χαρμι.

٩وَبَنُو رَأُوبَيْنَ: حَنُوكُ وَفَلُّو وَحَصْرُونُ وَكَرْمِي.

10 υἱοὶ δὲ Συμεων· Ιεμουηλ καὶ Ιαμιν καὶ Αωδ καὶ Ιαχιν καὶ Σααρ καὶ Σαουλ υἱὸς τῆς Χανανίτιδος.

١٠وَبَنُو شَمْعُونَ: يَمُوئِيلُ وَيَامِينُ وَأُوهَدُ وَيَاكِينُ وَصُوحَرُ وَشَأُولُ ابْنُ الْكَنْعَانِيَّةِ.

11 υἱοὶ δὲ Λευι· Γηρσων, Κααθ καὶ Μεραρι.

١١وَبَنُو لاَوِي: جَرْشُونُ وَقَهَاتُ وَمَرَارِي.

12 υἱοὶ δὲ Ιουδα· Ηρ καὶ Αυναν καὶ Σηλωμ καὶ Φαρες καὶ Ζαρα· ἀπέθανεν δὲ Ηρ καὶ Αυναν ἐν γῇ Χανααν· ἐγένοντο δὲ υἱοὶ Φαρες Ασρων καὶ Ιεμουηλ.

١٢وَبَنُو يَهُوذَا عِيرٌ وَأُونَانُ وَشِيلَةُ وَفَارَصُ وَزَارَحُ. وَأَمَّا عِيرٌ وَأُونَانُ فَمَاتَا فِي أَرْضِ كَنْعَانَ. وَكَانَ ابْنَا فَارَصَ حَصْرُونَ وَحَامُولَ.

13 υἱοὶ δὲ Ισσαχαρ· Θωλα καὶ Φουα καὶ Ιασουβ καὶ Ζαμβραμ.

١٣وَبَنُو يَسَّاكَرَ: تُولاَعُ وَفُوَّةُ وَيُوبُ وَشِمْرُونُ.

14 υἱοὶ δὲ Ζαβουλων· Σερεδ καὶ Αλλων καὶ Αλοηλ.

١٤وَبَنُو زَبُولُونَ: سَارَدُ وَإِيلُونُ وَيَاحَلْئِيلُ.

15 οὗτοι υἱοὶ Λειας, οὓς ἔτεκεν τῷ Ιακωβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας, καὶ Διναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαί, υἱοὶ καὶ θυγατέρες, τριάκοντα τρεῖς.

١٥هؤُلاَءِ بَنُو لَيْئَةَ الَّذِينَ وَلَدَتْهُمْ لِيَعْقُوبَ فِي مَا بَيْنَ النَّهْرَيْنِ السِّرْيَانِيَّةِ مَعَ دِينَةَ ابْنَتِهِ. جَمِيعُ النُّفُوسِ، بَنِينَ

وَبَنَات، ثَلاَثٌ وَثَلاَثُونَ.

١٦وَبَنُو جَادَ: صِفْيُونُ وَحَجِّي وَشُونِي وَأَصْبُونُ وَعِيرِي وَأَرُودِي وَأَرْئِيلِي.

١٧وَبَنُو أَشِيرَ: يِمْنَةُ وَيِشْوَةُ وَيِشْوِي وَبَرِيعَةُ وَسَارَحُ هِيَ أُخْتُهُمْ. وَابْنَا بَرِيعَةَ حَابِرُ وَمَلْكِيئِيلُ.

١٨هَؤُلاَءِ بَنُو زِلْفَةَ الَّتِي أَعْطَاهَا لاَبَانُ لِلَيْئَةَ ابْنَتِه فَوَلَدَتْ هَؤُلاَءِ لِيَعْقُوبَ سِتَّ عَشَرَةَ نَفْساً.

١٩ابْنَا رَاحِيلَ امْرَأَة يَعْقُوبَ: يُوسُفُ وَبَنْيَامِينُ.

٢٠وَكَانَ بَنُو يُوسُفَ فِي أَرْضِ مِصْرَ، اللَّذَان وَلَدَتْهُمَا لَهُ أَسْنَاتُ بِنْتُ فُوطِيفَارَ كَاهِنِ مَدِينَة الشَّمْسِ: مَنَسَّى وَأَفْرَايِمُ. وَكَانَ بَنُو مَنَسَّى الَّذِينَ وَلَدَتْهُمْ لَهُ سُرِّيَتُهُ

16 υἱοὶ δὲ Γαδ· Σαφων καὶ Αγγις καὶ Σαυνις καὶ Θασοβαν καὶ Αηδις καὶ Αροηδις καὶ Αροηλις.

17 υἱοὶ δὲ Ασηρ· Ιεμνα καὶ Ιεσουα καὶ Ιεουλ καὶ Βαρια, καὶ Σαρα ἀδελφὴ αὐτῶν. υἱοὶ δὲ Βαρια· Χοβορ καὶ Μελχιηλ.

18 οὗτοι υἱοὶ Ζελφας, ἣν ἔδωκεν Λαβαν Λεια τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκεν τούτους τῷ Ιακωβ, δέκα ἓξ ψυχάς.

19 υἱοὶ δὲ Ραχηλ γυναικὸς Ιακωβ· Ιωσηφ καὶ Βενιαμιν.

20 ἐγένοντο δὲ υἱοὶ Ιωσηφ ἐν γῇ Αἰγύπτῳ, οὓς ἔτεκεν αὐτῷ Ασεννεθ θυγάτηρ Πετεφρη ἱερέως Ἡλίου πόλεως, τὸν Μανασση καὶ τὸν Εφραιμ. ἐγένοντο δὲ υἱοὶ Μανασση, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχιρ· Μαχιρ δὲ ἐγέννησεν τὸν

السِّرْيَانِيَّة: مَاكِيرَ. وَمَاكِيرُ وَلَدَ جِلْعَادَ. وَبَنُو أَفْرَايِمَ أَخِي مَنَسَّى: شُوتَالَحَ وَتَاحَنَ. وَبَنُو شُوتَالَحَ: عِيرَانُ[٣٩٧].

Γαλααδ. υἱοὶ δὲ Εφραιμ ἀδελφοῦ Μανασση· Σουταλααμ καὶ Τααμ. υἱοὶ δὲ Σουταλααμ· Εδεμ.

٢١وَبَنُو بِنْيَامِينَ: بَالَعُ وَبَاكَرُ وَأَشْبِيلُ. وَكَانَ بَنُو بَالَعَ: جِيرَا وَنَعْمَانُ وَإِيحِي وَرُوشُ وَمُفِّيمُ وَحُفِّيمُ. وَوَلَدَ جِيرَا أَرْدَ[٣٩٨].

21 υἱοὶ δὲ Βενιαμιν· Βαλα καὶ Χοβωρ καὶ Ασβηλ. ἐγένοντο δὲ υἱοὶ Βαλα· Γηρα καὶ Νοεμαν καὶ Αγχις καὶ Ρως καὶ Μαμφιν καὶ Οφιμιν· Γηρα δὲ ἐγέννησεν τὸν Αραδ.

٢٢هَؤُلَاءِ بَنُو رَاحِيلَ الَّذِينَ وَلَدَتْهُمْ لِيَعْقُوبَ. جَمِيعُ النُّفُوسِ ثَمَانِي عَشَرَةَ.

22 οὗτοι υἱοὶ Ραχηλ, οὓς ἔτεκεν τῷ Ιακωβ· πᾶσαι ψυχαὶ δέκα ὀκτώ.

٢٣وَبَنُو دَانَ حُوشِيمُ.

23 υἱοὶ δὲ Δαν· Ασομ.

٢٤وَبَنُو نَفْتَالِي: يَاحَصْئِيلُ وَجُونِي وَيِصْرُ وَشِلِّيمُ.

24 καὶ υἱοὶ Νεφθαλι· Ασιηλ καὶ Γωυνι καὶ Ισσααρ καὶ Συλλημ.

٢٥هَؤُلَاءِ بَنُو بِلْهَةَ الَّتِي أَعْطَاهَا لَابَانُ لِرَاحِيلَ ابْنَتِهِ. فَوَلَدَتْ هَؤُلَاءِ لِيَعْقُوبَ.

25 οὗτοι υἱοὶ Βαλλας, ἣν ἔδωκεν Λαβαν Ραχηλ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκεν τούτους τῷ Ιακωβ· πᾶσαι ψυχαὶ ἑπτά.

---

[٣٩٧] لا يأتي في النص العبري في هذا الأصحاح أسماء نسل منسى وأفرايم، لكنها وردت في سفر العدد، انظر (عد ٢٦: ٢٩-٣٦)، وقد أوردنا الأسماء بنطقها كما جاءت في سفر العدد النص العبري.

[٣٩٨] ترد كل هذه الأسماء العشرة (عدد ٢١) في النص العبري كأبناء لبنيامين.

جَمِيعُ الأَنْفُسِ سَبْعٌ.

٢٦جَمِيعُ الأَنْفُسِ الَّتِي أَتَتْ إِلَى مِصْرَ مَعَ يَعْقُوبَ، الْخَارِجَةِ مِنْ صُلْبِه، مَا عَدَا نِسَاءَ بَنِي يَعْقُوبَ، جَمِيعُ الأَنْفُسِ سِتٌّ وَسِتُّونَ.

26 πᾶσαι δὲ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ Ιακωβ εἰς Αἴγυπτον, οἱ ἐξελθόντες ἐκ τῶν μηρῶν αὐτοῦ, χωρὶς τῶν γυναικῶν υἱῶν Ιακωβ, πᾶσαι ψυχαὶ ἑξήκοντα ἕξ.

٢٧وَبَنُو يُوسُفَ الَّذِينَ صَارُوا لَهُ فِي أَرْضِ مِصْرَ تِسْعُ أَنْفُسٍ[٣٩٩]. جَمِيعُ نُفُوسِ بَيْتِ يَعْقُوبَ الَّتِي جَاءَتْ إِلَى مِصْرَ خَمْسٌ وَسَبْعُونَ[٤٠٠].

27 υἱοὶ δὲ Ιωσηφ οἱ γενόμενοι αὐτῷ ἐν γῇ Αἰγύπτῳ ψυχαὶ ἐννέα. πᾶσαι ψυχαὶ οἴκου Ιακωβ αἱ εἰσελθοῦσαι εἰς Αἴγυπτον ἑβδομήκοντα πέντε.

٢٨فَأَرْسَلَ (يَعْقُوبُ) يَهُوذَا أَمَامَهُ إِلَى يُوسُفَ لِيُقَابِلَهُ فِي مَدِينَةِ هِيرُو[٤٠١] فِي أَرْضِ

28 Τὸν δὲ Ιουδαν ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ πρὸς Ιωσηφ συναντῆσαι αὐτῷ καθ᾽ Ἡρώων πόλιν εἰς γῆν Ραμεσση.

---

[٣٩٩] لا يذكر النص العبري من ذرية يوسف غير ولديه: «وابنا يوسف اللذان ولدا له في مصر نفسان». أما النص اليوناني فيذكر نسله وأولادهم.

[٤٠٠] يتفق هذا الرقم مع ما جاء في سفر الأعمال على لسان استفانوس الشماس (أع ٧: ١٤) مما يؤكد أنه كان يقتبس من السبعينية وليس من التوراة العبرية.

[٤٠١] يأتي في النص العبري גֹּשֶׁן (جوشن) أي جاسان دون تحديد اسم المدينة، وفي الترجمة القبطية البحيرية ⲡⲉⲑⲱⲙ ϯⲃⲁⲕⲓ فيثوم المدينة (خر ١: ١١)، ويقابلها في اليونانية Ἡρώων πόλιν أي مدينة هيرو Heroopolis (وكذلك العدد القادم).

رَعَمْسِيس[٤٠٢].

٢٩فَشَدَّ يُوسُفُ مَرْكَبَاته وَصَعدَ لاسْتقْبَالِ إسْرَائِيلَ أَبِيه عِنْدَ مَدِينَة هيرُو، وَلَمَّا ظَهَرَ لَهُ وَقَعَ عَلَى عُنُقِه وَبَكَى بُكَاءً كَثيراً.

29 ζεύξας δὲ Ιωσηφ τὰ ἅρματα αὐτοῦ ἀνέβη εἰς συνάντησιν Ισραηλ τῷ πατρὶ αὐτοῦ καθ᾽ Ἡρώων πόλιν καὶ ὀφθεὶς αὐτῷ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔκλαυσεν κλαυθμῷ πλείονι.

٣٠فَقَالَ إسْرَائِيلُ لِيُوسُفَ: «أَمُوتُ الآنَ لأَنِّي رَأَيْتُ وَجْهَكَ أَنَّكَ حَيٌّ بَعْدُ».

30 καὶ εἶπεν Ισραηλ πρὸς Ιωσηφ Ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου· ἔτι γὰρ σὺ ζῇς.

٣١ثُمَّ قَالَ يُوسُفُ لإخْوَته[٤٠٣]: «أَصْعَدُ وَأُخْبِرُ فِرْعَوْنَ وَأَقُولُ لَهُ: إخْوَتِي وَبَيْتُ أَبِي الَّذِينَ كَانُوا فِي أَرْضِ كَنْعَانَ جَاءُوا إِلَيَّ،

31 εἶπεν δὲ Ιωσηφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἀναβὰς ἀπαγγελῶ τῷ Φαραω καὶ ἐρῶ αὐτῷ Οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου, οἳ ἦσαν ἐν γῇ Χανααν, ἥκασιν πρός με·

٣٢وَأَمَّا الرِّجَالُ فَهُمْ رُعَاةٌ، فَإِنَّهُمْ كَانُوا يُرَبُّونَ الْمَاشِيَةَ، وَقَدْ جَاءُوا بِمَاشِيَتِهِمْ وَبَقَرِهِمْ وَكُلِّ مَا لَهُمْ.

32 οἱ δὲ ἄνδρες εἰσὶν ποιμένες—ἄνδρες γὰρ κτηνοτρόφοι ἦσαν—καὶ τὰ κτήνη καὶ τοὺς βόας καὶ πάντα τὰ αὐτῶν ἀγειόχασιν.

---

[٤٠٢] يأتي الاسم في النص العبري גֹּשֶׁן (جوشن) أي جاسان، وفي الترجمة اليونانية والقبطية البحيرية تأتي رعمسيس، وفيثوم ورعمسيس هما مدينتا المخازن اللتان بناهما بنو إسرائيل (خر ١: ١١).

[٤٠٣] يضيف النص العبري: «ولبيت أبيه».

٣٣فَإِذَا دَعَاكُمْ فِرْعَوْنُ وَقَالَ لَكُمْ: مَا هُوَ عَمَلُكُمْ؟	33 ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραω καὶ εἴπῃ ὑμῖν Τί τὸ ἔργον ὑμῶν ἐστιν;
